eul_wid: cbm-bf

*Εὐριπίδης* · Euripides

# Ion

*Ἴων*

**Period:** *Κλασική* Classical
**Dialect:** *Δράμα Ἀττικόν* Attic Drama
**Domain:** *Δρᾶμα* Drama
**Format:** *Ἔμμετρος* Verse

ΕΡΜΗΣ
Ὁ χαλκέοισιν οὐρανὸν νώτοις Ἄτλας
θεῶν παλαιὸν οἶκον ἐκτρίβων θεῶν
μιᾶς ἔφυσε Μαῖαν, ἣ ’μ’ ἐγείνατο
Ἑρμῆν μεγίστωι Ζηνί, δαιμόνων λάτριν.
ἥκω δὲ Δελφῶν τήνδε γῆν, ἵν’ ὀμφαλὸν
μέσον καθίζων Φοῖβος ὑμνωιδεῖ βροτοῖς
τά τ’ ὄντα καὶ μέλλοντα θεσπίζων ἀεί.
ἔστιν γὰρ οὐκ ἄσημος Ἑλλήνων πόλις,
τῆς χρυσολόγχου Παλλάδος κεκλημένη,
οὗ παῖδ’ Ἐρεχθέως Φοῖβος ἔζευξεν γάμοις
βίαι Κρέουσαν, ἔνθα προσβόρρους πέτρας
Παλλάδος ὑπ’ ὄχθωι τῆς Ἀθηναίων χθονὸς
Μακρὰς καλοῦσι γῆς ἄνακτες Ἀτθίδος.
ἀγνὼς δὲ πατρί (τῶι θεῶι γὰρ ἦν φίλον)
γαστρὸς διήνεγκ’ ὄγκον. ὡς δ’ ἦλθεν χρόνος,
τεκοῦς’ ἐν οἴκοις παῖδ’ ἀπήνεγκεν βρέφος
ἐς ταὐτὸν ἄντρον οὗπερ ηὐνάσθη θεῶι
Κρέουσα, κἀκτίθησιν ὡς θανούμενον κοίλης ἐν ἀντίπηγος εὐτρόχωι κύκλωι,
προγόνων νόμον σώιζουσα τοῦ τε γηγενοῦς
Ἐριχθονίου. κείνωι γὰρ ἡ Διὸς κόρη
φρουρὼ παραζεύξασα φύλακε σώματος
δισσὼ δράκοντε, παρθένοις Ἀγλαυρίσιν
δίδωσι σώιζειν· ὅθεν Ἐρεχθείδαις ἐκεῖ
νόμος τις ἔστιν ὄφεσιν ἐν χρυσηλάτοις

τρέφειν τέκν᾽. ἀλλ᾽ ἣν εἶχε παρθένος χλιδὴν
τέκνωι προσάψας᾽ ἔλιπεν ὡς θανουμένωι.
κἄμ᾽ ὢν ἀδελφὸς Φοῖβος αἰτεῖται τάδε·
Ὦ σύγγον᾽, ἐλθὼν λαὸν εἰς αὐτόχθονα
κλεινῶν Ἀθηνῶν (οἶσθα γὰρ θεᾶς πόλιν)
λαβὼν βρέφος νεογνὸν ἐκ κοίλης πέτρας
αὐτῶι σὺν ἄγγει σπαργάνοισί θ᾽ οἷς ἔχει
ἔνεγκε Δελφῶν τἀμὰ πρὸς χρηστήρια
καὶ θὲς πρὸς αὐταῖς εἰσόδοις δόμων ἐμῶν.
τὰ δ᾽ ἄλλ᾽ (ἐμὸς γάρ ἐστιν, ὡς εἰδῆις, ὁ παῖς)
ἡμῖν μελήσει. Λοξίαι δ᾽ ἐγὼ χάριν
πράσσων ἀδελφῶι πλεκτὸν ἐξάρας κύτος
ἤνεγκα καὶ τὸν παῖδα κρηπίδων ἔπι
τίθημι ναοῦ τοῦδ᾽, ἀναπτύξας κύτος
ἑλικτὸν ἀντίπηγος, ὡς ὁρῶιθ᾽ ὁ παῖς.
κυρεῖ δ᾽ ἅμ᾽ ἱππεύοντος ἡλίου κύκλωι
προφῆτις ἐσβαίνουσα μαντεῖον θεοῦ·
ὄψιν δὲ προσβαλοῦσα παιδὶ νηπίωι
ἐθαύμας᾽ εἴ τις Δελφίδων τλαίη κόρη
λαθραῖον ὠδῖν᾽ ἐς θεοῦ ῥῖψαι δόμον, ὑπέρ τε θυμέλας διορίσαι πρόθυμος ἦν·
οἴκτωι δ᾽ ἀφῆκεν ὠμότητα, καὶ θεὸς
συνεργὸς ἦν τῶι παιδὶ μὴ ᾽κπεσεῖν δόμων·
τρέφει δέ νιν λαβοῦσα, τὸν σπείραντα δὲ οὐκ οἶδε Φοῖβον οὐδὲ μητέρ᾽ ἧς ἔφυ,
ὁ παῖς τε τοὺς τεκόντας οὐκ ἐπίσταται.
νέος μὲν οὖν ὢν ἀμφὶ βωμίους τροφὰς
ἠλᾶτ᾽ ἀθύρων· ὡς δ᾽ ἀπηνδρώθη δέμας,
Δελφοί σφ᾽ ἔθεντο χρυσοφύλακα τοῦ θεοῦ
ταμίαν τε πάντων πιστόν, ἐν δ᾽ ἀνακτόροις
θεοῦ καταζῆι δεῦρ᾽ ἀεὶ σεμνὸν βίον.
Κρέουσα δ᾽ ἡ τεκοῦσα τὸν νεανίαν
Ξούθωι γαμεῖται συμφορᾶς τοιᾶσδ᾽ ὕπο·
ἦν ταῖς Ἀθήναις τοῖς τε Χαλκωδοντίδαις,
οἳ γῆν ἔχους᾽ Εὐβοῖδα, πολέμιος κλύδων·
ὃν συμπονήσας καὶ συνεξελὼν δορὶ
γάμων Κρεούσης ἀξίωμ᾽ ἐδέξατο,
οὐκ ἐγγενὴς ὤν, Αἰόλου δὲ τοῦ Διὸς
γεγὼς Ἀχαιός. χρόνια δὲ σπείρας λέχη
ἄτεκνός ἐστι καὶ Κρέους᾽· ὧν οὕνεκα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἥκουσι πρὸς μαντεῖ᾽ Ἀπόλλωνος τάδε
ἔρωτι παίδων. Λοξίας δὲ τὴν τύχην
ἐς τοῦτ᾽ ἐλαύνει, κοὐ λέληθεν, ὡς δοκεῖ·
δώσει γὰρ εἰσελθόντι μαντεῖον τόδε
Ξούθωι τὸν αὑτοῦ παῖδα καὶ πεφυκέναι
κείνου σφε φήσει, μητρὸς ὡς ἐλθὼν δόμους
γνωσθῆι Κρεούσηι καὶ γάμοι τε Λοξίου
κρυπτοὶ γένωνται παῖς τ᾽ ἔχηι τὰ πρόσφορα. Ἴωνα δ᾽ αὐτόν, κτίστορ᾽ Ἀσιάδος χθονός,
ὄνομα κεκλῆσθαι θήσεται καθ᾽ Ἑλλάδα.
ἀλλ᾽ ἐς δαφνώδη γύαλα βήσομαι τάδε,
τὸ κρανθὲν ὡς ἂν ἐκμάθω παιδὸς πέρι.
ὁρῶ γὰρ ἐκβαίνοντα Λοξίου γόνον
τόνδ᾽, ὡς πρὸ ναοῦ λαμπρὰ θῆι πυλώματα
δάφνης κλάδοισιν. ὄνομα δ᾽, οὗ μέλλει τυχεῖν,
Ἴων᾽ ἐγώ 〈νιν〉 πρῶτος ὀνομάζω θεῶν.
ΙΩΝ
ἅρματα μὲν τάδε λαμπρὰ τεθρίππων·
Ἥλιος ἤδη λάμπει κατὰ γῆν,
ἄστρα δὲ φεύγει πυρὶ τῶιδ᾽ αἰθέρος
ἐς νύχθ᾽ ἱεράν·
Παρνασιάδες δ᾽ ἄβατοι κορυφαὶ
καταλαμπόμεναι τὴν ἡμερίαν
ἁψῖδα βροτοῖσι δέχονται.
σμύρνης δ᾽ ἀνύδρου καπνὸς εἰς ὀρόφους
Φοίβου πέτεται.
θάσσει δὲ γυνὴ τρίποδα ζάθεον
Δελφίς, ἀείδουσ᾽ Ἕλλησι βοάς,
ἃς ἂν Ἀπόλλων κελαδήσηι.
ἀλλ᾽, ὦ Φοίβου Δελφοὶ θέραπες,
τὰς Κασταλίας ἀργυροειδεῖς
βαίνετε δίνας, καθαραῖς δὲ δρόσοις
ἀφυδρανάμενοι στείχετε ναούς·
στόμα τ᾽ εὔφημοι φρουρεῖτ᾽ ἀγαθόν, φήμας ἀγαθὰς τοῖς ἐθέλουσιν μαντεύεσθαι
γλώσσης ἰδίας ἀποφαίνειν.
ἡμεῖς δέ, πόνους οὓς ἐκ παιδὸς
μοχθοῦμεν ἀεί, πτόρθοισι δάφνης
στέφεσίν θ᾽ ἱεροῖς ἐσόδους Φοίβου
καθαρὰς θήσομεν ὑγραῖς τε πέδον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ῥανίσιν νοτερόν· πτηνῶν τ’ ἀγέλας,
αἳ βλάπτουσιν σέμν’ ἀναθήματα,
τόξοισιν ἐμοῖς φυγάδας θήσομεν·
ὡς γὰρ ἀμήτωρ ἀπάτωρ τε γεγὼς
τοὺς θρέψαντας
Φοίβου ναοὺς θεραπεύω.
ἄγ’, ὦ νεηθαλὲς ὦ
καλλίστας προπόλευμα δάφ-
νας, ἃ τὰν Φοίβου θυμέλαν
σαίρεις ὑπὸ ναοῖς,
κάπων ἐξ ἀθανάτων,
ἵνα δρόσοι τέγγους’ ἱεραί,
τὰν ἀέναον
παγὰν ἐκπροϊεῖσαι,
μυρσίνας ἱερὰν φόβαν·
ἇι σαίρω δάπεδον θεοῦ
παναμέριος ἅμ’ ἁλίου πτέρυγι θοᾶι
λατρεύων τὸ κατ’ ἦμαρ.
ὦ Παιὰν ὦ Παιάν, εὐαίων εὐαίων
εἴης, ὦ Λατοῦς παῖ.
καλόν γε τὸν πόνον, ὦ
Φοῖβε, σοὶ πρὸ δόμων λατρεύ-
ω, τιμῶν μαντεῖον ἕδραν·
κλεινὸς δ’ ὁ πόνος μοι
θεοῖσιν δούλαν χέρ’ ἔχειν,
οὐ θνατοῖς ἀλλ’ ἀθανάτοις·
εὐφάμους δὲ πόνους
μοχθεῖν οὐκ ἀποκάμνω.
Φοῖβός μοι γενέτωρ πατήρ·
τὸν βόσκοντα γὰρ εὐλογῶ,
τὸν δ’ ὠφέλιμον ἐμοὶ πατέρος ὄνομα λέγω
Φοῖβον τὸν κατὰ ναόν.
ὦ Παιὰν ὦ Παιάν,
εὐαίων εὐαίων
εἴης, ὦ Λατοῦς παῖ.
ἀλλ’ ἐκπαύσω γὰρ μόχθους
δάφνας ὁλκοῖς,
χρυσέων δ’ ἐκ τευχέων ῥίψω

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γαίας παγάν,
145.4 ἃν ἀποχεύονται
145.5 Κασταλίας δῖναι, νοτερὸν ὕδωρ βάλλων, ὅσιος ἀπ’ εὐνᾶς ὤν.
145.6 εἴθ’ οὕτως αἰεὶ Φοίβωι
145.7 λατρεύων μὴ παυσαίμαν, ἢ παυσαίμαν ἀγαθᾶι μοίραι.
145.8 ἔα ἔα·
154 φοιτῶς’ ἤδη λείπουσίν τε
155.1 πτανοὶ Παρνασοῦ κοίτας.
155.2 αὐδῶ μὴ χρίμπτειν θριγκοῖς
155.3 μηδ’ ἐς χρυσήρεις οἴκους.
155.4 μάρψω ς’ αὖ τόξοις, ὦ Ζηνὸς
155.5 κῆρυξ, ὀρνίθων γαμφηλαῖς
160.1 ἰσχὺν νικῶν.
160.2 ὅδε πρὸς θυμέλας ἄλλος ἐρέσσει
160.3 κύκνος· οὐκ ἄλλαι φοινικοφαῆ
160.4 πόδα κινήσεις;
160.5 οὐδέν ς’ ἁ φόρμιγξ ἁ Φοίβου
165.1 σύμμολπος τόξων ῥύσαιτ’ ἄν.
165.2 πάραγε πτέρυγας·
165.3 λίμνας ἐπίβα τᾶς Δηλιάδος·
165.4 αἱάξεις, εἰ μὴ πείσηι,
165.5 τὰς καλλιφθόγγους ὠιδάς.
170 ἔα ἔα·
170.1 τίς ὅδ’ ὀρνίθων καινὸς προσέβα;
170.2 μῶν ὑπὸ θριγκοὺς εὐναίας
170.3 καρφυρὰς θήσων τέκνοις;
170.4 ψαλμοί ς’ εἴρξουσιν τόξων.
170.5 οὐ πείσηι; χωρῶν δίνας
175.1 τὰς Ἀλφειοῦ παιδούργει ἢ νάπος Ἴσθμιον,
175.2 ὡς ἀναθήματα μὴ βλάπτηται
175.3 ναοί θ’ οἱ Φοίβου 〈 〉
175.4 κτείνειν δ’ ὑμᾶς αἰδοῦμαι
180.1 τοὺς θεῶν ἀγγέλλοντας φήμας
180.2 θνατοῖς· οἷς δ’ ἔγκειμαι μόχθοις
180.3 Φοίβωι δουλεύσω κοὐ λήξω
180.4 τοὺς βόσκοντας θεραπεύων.
180.5 ΧΟΡΟΣ
184 〈—〉 οὐκ ἐν ταῖς ζαθέαις Ἀθά-
185.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ναις εὐκίονες ἦσαν αὐ-
λαὶ θεῶν μόνον οὐδ’ ἀγυι-
άτιδες θεραπεῖαι·
ἀλλὰ καὶ παρὰ Λοξίαι
τῶι Λατοῦς διδύμων προσώ-
πων καλλιβλέφαρον φῶς.
— ἰδού, τᾶιδ’ ἄθρησον·
Λερναῖον ὕδραν ἐναίρει
χρυσέαις ἅρπαις ὁ Διὸς παῖς·
φίλα, πρόσιδ’ ὄσσοις. — ὁρῶ. καὶ πέλας ἄλλος αὐ-
τοῦ πανὸν πυρίφλεκτον αἴ-
ρει τις· ἆρ’ ὃς ἐμαῖσι μυ-
θεύεται παρὰ πήναις,
ἀσπιστὰς Ἰόλαος, ὃς
κοινοὺς αἰρόμενος πόνους Δίωι παιδὶ συναντλεῖ;
〈—〉 καὶ μὰν τόνδ’ ἄθρησον
πτεροῦντος ἔφεδρον ἵππου·
τὰν πῦρ πνέουσαν ἐναίρει
τρισώματον ἀλκάν.
— πάνται τοι βλέφαρον διώ-
κω. σκέψαι κλόνον ἐν τείχεσ-
σι λαΐνοισι Γιγάντων.
— ὧδε δερκόμεσθ’, ὦ φίλαι.
— λεύσσεις οὖν ἐπ’ Ἐγκελάδωι
γοργωπὸν πάλλουσαν ἴτυν ...;
— λεύσσω Παλλάδ’, ἐμὰν θεόν.
— τί γάρ; κεραυνὸν ἀμφίπυρον
ὄβριμον ἐν Διὸς
ἑκηβόλοισι χερσίν;
〈—〉 ὁρῶ· τὸν δάιον
Μίμαντα πυρὶ καταιθαλοῖ.
〈—〉 καὶ Βρόμιος ἄλλον ἀπολέμοισι κισσίνοισι βάκτροις
ἐναίρει Γᾶς τέκνων ὁ Βακχεύς.
〈—〉 σέ τοι, τὸν παρὰ ναὸν αὐ-
δῶ· θέμις γυάλων ὑπερ-
βῆναι λευκῶι ποδί γ’ 〈οὐδόν〉;
〈Ιων〉 οὐ θέμις, ὦ ξέναι.
— οὐδ’ ἂν ἐκ σέθεν ἂν πυθοίμαν αὐδάν;

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ιων τίνα τήνδε θέλεις;
223 — ἆρ’ ὄντως μέσον ὀμφαλὸν
223.1 γᾶς Φοίβου κατέχει δόμος;
223.2 Ιων στέμμασί γ’ ἐνδυτόν, ἀμφὶ δὲ Γοργόνες.
225.1 — οὕτω καὶ φάτις αὐδᾶι.
225.2 Ιων εἰ μὲν ἐθύσατε πελανὸν πρὸ δόμων
225.3 καί τι πυθέσθαι χρῄζετε Φοίβου,
225.4 πάριτ’ ἐς θυμέλας· ἐπὶ δ’ ἀσφάκτοις
225.5 μήλοισι δόμων μὴ πάριτ’ ἐς μυχόν.
230 — ἔχω μαθοῦσα· θεοῦ δὲ νόμον
230.1 οὐ παραβαίνομεν,
230.2 ἃ δ’ ἐκτὸς ὄμμα τέρψει.
230.3 Ιων πάντα θεᾶσθ’, ὅτι καὶ θέμις, ὄμμασι.
230.4 — μεθεῖσαν δεσπόται
230.5 με θεοῦ γύαλα τάδ’ εἰσιδεῖν.
234 Ιων δμωαὶ δὲ τίνων κλῄζεσθε δόμων;
235.1 — Παλλάδι σύνοικα τρόφιμα μέλα-
235.2 θρα τῶν ἐμῶν τυράννων·
236 παρούσας δ’ ἀμφὶ τᾶσδ’ ἐρωτᾶις.
post 236 Ιων 〈〉
237.1 γενναιότης σοι καὶ τρόπων τεκμήριον
237.2 τὸ σχῆμ’ ἔχεις τόδ’, ἥτις εἶ ποτ’, ὦ γύναι.
237.3 γνοίη δ’ ἂν ὡς τὰ πολλά γ’ ἀνθρώπου πέρι
240.1 τὸ σχῆμ’ ἰδών τις εἰ πέφυκεν εὐγενής.
240.2 ἔα·
241.1 ἀλλ’ ἐξέπληξάς μ’, ὄμμα συγκλῄσασα σὸν
241.2 δακρύοις θ’ ὑγράνας’ εὐγενῆ παρηίδα,
241.3 ὡς εἶδες ἁγνὰ Λοξίου χρηστήρια.
241.4 τί ποτε μερίμνης ἐς τόδ’ ἦλθες, ὦ γύναι;
245.1 οὗ πάντες ἄλλοι γύαλα λεύσσοντες θεοῦ
245.2 χαίρουσιν, ἐνταῦθ’ ὄμμα σὸν δακρυρροεῖ;
245.3 ΚΡΕΟΥΣΑ
247.1 ὦ ξένε, τὸ μὲν σὸν οὐκ ἀπαιδεύτως ἔχει
247.2 ἐς θαύματ’ ἐλθεῖν δακρύων ἐμῶν πέρι·
247.3 ἐγὼ δ’ ἰδοῦσα τούσδ’ Ἀπόλλωνος δόμους μνήμην παλαιὰν ἀνεμετρησάμην τινά·
247.4 ἐκεῖσε τὸν νοῦν ἔσχον ἐνθάδ’ οὖσά περ.
247.5 ὦ τλήμονες γυναῖκες· ὦ τολμήματα
247.6 θεῶν. τί δῆτα; ποῖ δίκην ἀνοίσομεν.
247.7

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἰ τῶν κρατούντων ἀδικίαις ὀλούμεθα;
Ιων τί χρῆμ’ ἀνερμήνευτα δυσθυμῆι, γύναι;
Κρ. οὐδέν· μεθῆκα τόξα· τἀπὶ τῶιδε δὲ
ἐγώ τε σιγῶ καὶ σὺ μὴ φρόντιζ’ ἔτι.
Ιων τίς δ’ εἶ; πόθεν γῆς ἦλθες; ἐκ ποίας πάτρας
πέφυκας; ὄνομα τί σε καλεῖν ἡμᾶς χρεών;
Κρ. Κρέουσα μέν μοι τοὔνομ’, ἐκ δ’ Ἐρεχθέως
πέφυκα, πατρὶς γῆ δ’ Ἀθηναίων πόλις.
Ιων ὦ κλεινὸν οἰκοῦς’ ἄστυ γενναίων τ’ ἄπο
τραφεῖσα πατέρων, ὥς σε θαυμάζω, γύναι.
Κρ. τοσαῦτα κεὐτυχοῦμεν, ὦ ξέν’, οὐ πέρα.
Ιων πρὸς θεῶν, ἀληθῶς, ὡς μεμύθευται βροτοῖς
Κρ. τί χρῆμ’ ἐρωτᾶις, ὦ ξέν’, ἐκμαθεῖν θέλων;
Ιων. ἐκ γῆς πατρός σου πρόγονος ἔβλαστεν πατήρ;
Κρ. Ἐριχθόνιός γε· τὸ δὲ γένος μ’ οὐκ ὠφελεῖ.
Ιων ἦ καί σφ’ Ἀθάνα γῆθεν ἐξανείλετο;
Κρ. ἐς παρθένους γε χεῖρας, οὐ τεκοῦσά νιν.
Ιων δίδωσι δ’, ὥσπερ ἐν γραφῆι νομίζεται
Κρ. Κέκροπός γε σώιζειν παισὶν οὐχ ὁρώμενον.
Ιων ἤκουσα λῦσαι παρθένους τεῦχος θεᾶς.
Κρ. τοιγὰρ θανοῦσαι σκόπελον ᾕμαξαν πέτρας.
Ιων εἶἑν·
τί δαὶ τόδ’; ἆρ’ ἀληθὲς ἢ μάτην λόγος;
Κρ. τί χρῆμ’ ἐρωτᾶις; καὶ γὰρ οὐ κάμνω σχολῆι.
Ιων πατὴρ Ἐρεχθεὺς σὰς ἔθυσε συγγόνους;
Κρ. ἔτλη πρὸ γαίας σφάγια παρθένους κτανεῖν.
Ιων σὺ δ’ ἐξεσώθης πῶς κασιγνήτων μόνη;
Κρ. βρέφος νεογνὸν μητρὸς ἦν ἐν ἀγκάλαις.
Ιων πατέρα δ’ ἀληθῶς χάσμα σὸν κρύπτει χθονός;
Κρ. πληγαὶ τριαίνης ποντίου σφ’ ἀπώλεσαν.
Ιων Μακραὶ δὲ χῶρός ἐστ’ ἐκεῖ κεκλημένος; Κρ. τί δ’ ἱστορεῖς τόδ’; ὥς μ’ ἀνέμνησάς τινος.
Ιων τιμᾶι σφε Πύθιος ἀστραπαί τε Πύθιαι.
Κρ. τιμᾶ τιμᾶ· ὡς μήποτ’ ὤφελόν σφ’ ἰδεῖν.
Ιων τί δέ; στυγεῖς σὺ τοῦ θεοῦ τὰ φίλτατα;
Κρ. οὐδέν· ξύνοιδ’ ἄντροισιν αἰσχύνην τινά.
Ιων πόσις δὲ τίς ς’ ἔγημ’ Ἀθηναίων, γύναι;
Κρ. οὐκ ἀστὸς ἀλλ’ ἐπακτὸς ἐξ ἄλλης χθονός.
Ιων τίς; εὐγενῆ νιν δεῖ πεφυκέναι τινά.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Κρ. Ξοῦθος, πεφυκὼς Αἰόλου Διός τ᾽ ἄπο.
Ιων καὶ πῶς ξένος ς᾽ ὢν ἔσχεν οὖσαν ἐγγενῆ;
Κρ. Εὔβοι᾽ Ἀθήναις ἔστι τις γείτων πόλις.
Ιων ὅροις ὑγροῖσιν, ὡς λέγους᾽, ὡρισμένη.
Κρ. ταύτην ἔπερσε Κεκροπίδαις κοινῶι δορί.
Ιων ἐπίκουρος ἐλθών; κἆιτα σὸν γαμεῖ λέχος;
Κρ. φερνάς γε πολέμου καὶ δορὸς λαβὼν γέρας.
Ιων σὺν ἀνδρὶ δ᾽ ἥκεις ἢ μόνη χρηστήρια; Κρ. σὺν ἀνδρί· σηκοῖς δ᾽ ὑστερεῖ Τροφωνίου.
Ιων πότερα θεατὴς ἢ χάριν μαντευμάτων;
Κρ. κείνου τε Φοίβου θ᾽ ἓν θέλων μαθεῖν ἔπος.
Ιων καρποῦ δ᾽ ὕπερ γῆς ἥκετ᾽ ἢ παίδων πέρι;
Κρ. ἄπαιδές ἐσμεν, χρόνι᾽ ἔχοντ᾽ εὐνήματα.
Ιων οὐδ᾽ ἔτεκες οὐδὲν πώποτ᾽ ἀλλ᾽ ἄτεκνος εἶ; Κρ. ὁ Φοῖβος οἶδε τὴν ἐμὴν ἀπαιδίαν.
Ιων ὦ τλῆμον, ὡς τἄλλ᾽ εὐτυχοῦς᾽ οὐκ εὐτυχεῖς.
Κρ. σὺ δ᾽ εἶ τίς; ὥς σου τὴν τεκοῦσαν ὤλβισα.
Ιων τοῦ θεοῦ καλοῦμαι δοῦλος, εἰμί τ᾽, ὦ γύναι.
Κρ. ἀνάθημα πόλεως ἤ τινος πραθεὶς ὕπο;
Ιων οὐκ οἶδα πλὴν ἕν· Λοξίου κεκλήμεθα.
Κρ. ἡμεῖς ς᾽ ἄρ᾽ αὖθις, ὦ ξέν᾽, ἀντοικτίρομεν.
Ιων ὡς μὴ εἰδόθ᾽ ἥτις μ᾽ ἔτεκεν ἐξ ὅτου τ᾽ ἔφυν.
Κρ. ναοῖσι δ᾽ οἰκεῖς τοισίδ᾽ ἢ κατὰ στέγας;
Ιων ἅπαν θεοῦ μοι δῶμ᾽, ἵν᾽ ἂν λάβηι μ᾽ ὕπνος.
Κρ. παῖς δ᾽ ὢν ἀφίκου ναὸν ἢ νεανίας;
Ιων βρέφος λέγουσιν οἱ δοκοῦντες εἰδέναι.
Κρ. καὶ τίς γάλακτί ς᾽ ἐξέθρεψε Δελφίδων;
Ιων οὐπώποτ᾽ ἔγνων μαστόν· ἣ δ᾽ ἔθρεψέ με
Κρ. τίς, ὦ ταλαίπωρ᾽; ὡς νοσοῦς᾽ ηὗρον νόσους.
Ιων Φοίβου προφῆτιν μητέρ᾽ ὣς νομίζομεν.
Κρ. ἐς δ᾽ ἄνδρ᾽ ἀφίκου τίνα τροφὴν κεκτημένος;
Ιων βωμοί μ᾽ ἔφερβον οὑπιών τ᾽ ἀεὶ ξένος.
Κρ. ἔχεις δὲ βίοτον· εὖ γὰρ ἤσκησαι πέπλοις.
Ιων τοῖς τοῦ θεοῦ κοσμούμεθ᾽ ὧι δουλεύομεν.
Κρ. οὐδ᾽ ἦιξας εἰς ἔρευναν ἐξευρεῖν γονάς;
Ιων ἔχω γὰρ οὐδέν, ὦ γύναι, τεκμήριον.
Κρ. τάλαινά ς᾽ ἡ τεκοῦς᾽ ἄρ᾽, ἥτις ἦν ποτε.
Ιων ἀδίκημά του γυναικὸς ἐγενόμην ἴσως.
Κρ. φεῦ·
πέπονθέ τις σῆι μητρὶ ταὖτ᾽ ἄλλη γυνή. Ιων τίς; εἰ πόνου μοι ξυλλάβοι, χαίροιμεν ἄν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Κρ. ἧς οὕνεκ’ ἦλθον δεῦρο πρὶν πόσιν μολεῖν.

330.3 Ιων ποῖόν τι χρήιζους’; ὡς ὑπουργήσω, γύναι.

330.4 Κρ. μάντευμα κρυπτὸν δεομένη Φοίβου μαθεῖν.

335.1 Ιων λέγοις ἄν· ἡμεῖς τἄλλα προξενήσομεν.

335.2 Κρ. ἄκουε δὴ τὸν μῦθον· ἀλλ’ αἰδούμεθα.

335.3 Ιων οὔ τἄρα πράξεις οὐδέν· ἀργὸς ἡ θεός.

335.4 Κρ. Φοίβωι μιγῆναί φησί τις φίλων ἐμῶν.

335.5 Ιων Φοίβωι γυνὴ γεγῶσα; μὴ λέγ’, ὦ ξένη.

340.1 Κρ. καὶ παῖδά γ’ ἔτεκε τῶι θεῶι λάθραι πατρός.

340.2 Ιων οὐκ ἔστιν· ἀνδρὸς ἀδικίαν αἰσχύνεται.

340.3 Κρ. οὔ φησιν αὐτή· καὶ πέπονθεν ἄθλια.

340.4 Ιων τί χρῆμα δράσας’, εἰ θεῶι συνεζύγη;

340.5 Κρ. τὸν παῖδ’ ὃν ἔτεκεν ἐξέθηκε δωμάτων.

345.1 Ιων ὁ δ’ ἐκτεθεὶς παῖς ποῦ ’στιν; εἰσορᾶι φάος;

345.2 Κρ. οὐκ οἶδεν οὐδείς· ταῦτα καὶ μαντεύομαι.

345.3 Ιων εἰ δ’ οὐκέτ’ ἔστι, τίνι τρόπωι διεφθάρη;

345.4 Κρ. θῆράς σφε τὸν δύστηνον ἐλπίζει κτανεῖν.

345.5 Ιων ποίωι τόδ’ ἔγνω χρωμένη τεκμηρίωι; Κρ. ἐλθοῦς’ ἵν’ αὐτὸν ἐξέθηκ’ οὐχ ηὗρ’ ἔτι.

345.6 Ιων ἦν δὲ σταλαγμὸς ἐν στίβωι τις αἵματος;

345.7 Κρ. οὔ φησι· καίτοι πόλλ’ ἐπεστράφη πέδον.

345.8 Ιων χρόνος δὲ τίς τῶι παιδὶ διαπεπραγμένωι;

345.9 Κρ. σοὶ ταὐτὸν ἥβης, εἴπερ ἦν, εἶχ’ ἂν μέτρον.

357.1 Ιων τί δ’ εἰ λάθραι νιν Φοῖβος ἐκτρέφει λαβών;

357.2 Κρ. τὰ κοινὰ χαίρων οὐ δίκαια δρᾶι μόνος.

355.1 Ιων ἀδικεῖ νυν ὁ θεός, ἡ τεκοῦσα δ’ ἀθλία.

355.2 Κρ. οὔκουν ἔτ’ ἄλλον 〈γ’〉 ὕστερον τίκτει γόνον.

359 Ιων οἴμοι· προσωιδὸς ἡ τύχη τὠμῶι πάθει.

360.1 Κρ. καὶ ς’, ὦ ξέν’, οἶμαι μητέρ’ ἀθλίαν ποθεῖν.

360.2 Ιων ἆ μή μ’ ἐπ’ οἶκτον ἔξαγ’ οὗ ’λελήσμεθα.

360.3 Κρ. σιγῶ· πέραινε δ’ ὧν ς’ ἀνιστορῶ πέρι.

360.4 Ιων οἶσθ’ οὖν ὃ κάμνει τοῦ λόγου μάλιστά σοι;

360.5 Κρ. τί δ’ οὐκ ἐκείνηι τῆι ταλαιπώρωι νοσεῖ;

365.1 Ιων πῶς ὁ θεὸς ὃ λαθεῖν βούλεται μαντεύσεται;

365.2 Κρ. εἴπερ καθίζει τρίποδα κοινὸν Ἑλλάδος.

365.3 Ιων αἰσχύνεται τὸ πρᾶγμα· μὴ ’ξέλεγχέ νιν.

365.4 Κρ. ἀλγύνεται δέ γ’ ἡ παθοῦσα τῆι τύχηι.

365.5 Ιων οὐκ ἔστιν ὅστις σοι προφητεύσει τάδε.

370.1 ἐν τοῖς γὰρ αὑτοῦ δώμασιν κακὸς φανεὶς

370.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Φοῖβος δικαίως τὸν θεμιστεύοντά σοι
δράσειεν ἄν τι πῆμ’. ἀπαλλάσσου, γύναι·
τῶι γὰρ θεῶι τἀναντί’ οὐ μαντευτέον.
[ἐς γὰρ τοσοῦτον ἀμαθίας ἔλθοιμεν ἄν,
εἰ τοὺς θεοὺς ἄκοντας ἐκπονήσομεν
φράζειν ἃ μὴ θέλουσιν, ἢ προβωμίοις
σφαγαῖσι μήλων ἢ δι’ οἰωνῶν πτεροῖς.]
ἃν γὰρ βίαι σπεύδωμεν ἀκόντων θεῶν,
ἀνόνητα κεκτήμεσθα τἀγάθ’, ὦ γύναι·
ἃ δ’ ἂν διδῶς’ ἑκόντες, ὠφελούμεθα.
Χο. πολλαί γε πολλοῖς εἰσι συμφοραὶ βροτῶν, μορφαὶ δὲ διαφέρουσιν· ἕνα δ’ ἂν εὐτυχῆ
μόλις ποτ’ ἐξεύροι τις ἀνθρώπων βίον.
Κρ. ὦ Φοῖβε, κἀκεῖ κἀνθάδ’ οὐ δίκαιος εἶ
ἐς τὴν ἀποῦσαν, ἧς πάρεισιν οἱ λόγοι·
ὅς γ’ οὔτ’ ἔσωσας τὸν σὸν ὃν σῶσαί ς’ ἐχρῆν
οὔθ’ ἱστορούσηι μητρὶ μάντις ὢν ἐρεῖς,
ὡς, εἰ μὲν οὐκέτ’ ἔστιν, ὀγκωθῆι τάφωι,
εἰ δ’ ἔστιν, ἔλθηι μητρὸς εἰς ὄψιν ποτέ.
ἀλλ’ ἐᾶν χρὴ τάδ’, εἰ πρὸς τοῦ θεοῦ
κωλυόμεσθα μὴ μαθεῖν ἃ βούλομαι.
ἀλλ’, ὦ ξέν’, εἰσορῶ γὰρ εὐγενῆ πόσιν
Ξοῦθον πέλας δὴ τόνδε, τὰς Τροφωνίου
λιπόντα θαλάμας, τοὺς λελεγμένους λόγους
σίγα πρὸς ἄνδρα, μή τιν’ αἰσχύνην λάβω
διακονοῦσα κρυπτά, καὶ προβῆι λόγος
οὐχ ἧιπερ ἡμεῖς αὐτὸν ἐξειλίσσομεν.
τὰ γὰρ γυναικῶν δυσχερῆ πρὸς ἄρσενας,
κἀν ταῖς κακαῖσιν ἁγαθαὶ μεμειγμέναι μισούμεθ’· οὕτω δυστυχεῖς πεφύκαμεν.
ΞΟΥΘΟΣ
πρῶτον μὲν 〈ὁ〉 θεὸς τῶν ἐμῶν προσφθεγμάτων
λαβὼν ἀπαρχὰς χαιρέτω, σύ τ’, ὦ γύναι.
μῶν χρόνιος ἐλθών ς’ ἐξέπληξ’ ὀρρωδίαι;
Κρ. οὐδέν γ’· ἀφίγμην δ’ ἐς μέριμναν. ἀλλά μοι
λέξον, τί θέσπισμ’ ἐκ Τροφωνίου φέρεις,
παίδων ὅπως νῶιν σπέρμα συγκραθήσεται; Ξο. οὐκ ἠξίωσε τοῦ θεοῦ προλαμβάνειν
μαντεύμαθ’· ἓν δ’ οὖν εἶπεν· οὐκ ἄπαιδά με
πρὸς οἶκον ἥξειν οὐδὲ ς’ ἐκ χρηστηρίων.
Κρ. ὦ πότνια Φοίβου μῆτερ, εἰ γὰρ αἰσίως

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔλθοιμεν, ἅ τε νῶιν συμβόλαια πρόσθεν ἦν
ἐς παῖδα τὸν σὸν μεταπέσοι βελτίονα.
Ξο. ἔσται τάδ᾽· ἀλλὰ τίς προφητεύει θεοῦ;
Ιων ἡμεῖς τά γ᾽ ἔξω, τῶν ἔσω δ᾽ ἄλλοις μέλει,
οἳ πλησίον θάσσουσι τρίποδος, 〈ὦ〉 ξένε,
Δελφῶν ἀριστῆς, οὓς ἐκλήρωσεν πάλος.
Ξο. καλῶς· ἔχω δὴ πάνθ᾽ ὅσων ἐχρήιζομεν.
στείχοιμ᾽ ἂν εἴσω· καὶ γάρ, ὡς ἐγὼ κλύω,
χρηστήριον πέπτωκε τοῖς ἐπήλυσιν
κοινὸν πρὸ ναοῦ· βούλομαι δ᾽ ἐν ἡμέραι
τῆιδ᾽ (αἰσία γάρ) θεοῦ λαβεῖν μαντεύματα.
σὺ δ᾽ ἀμφὶ βωμούς, ὦ γύναι, δαφνηφόρους
λαβοῦσα κλῶνας, εὐτέκνους εὔχου θεοῖς
χρησμούς μ᾽ ἐνεγκεῖν ἐξ Ἀπόλλωνος δόμων.
Κρ. ἔσται τάδ᾽, ἔσται. Λοξίας δ᾽, ἐὰν θέληι
νῦν ἀλλὰ τὰς πρὶν ἀναλαβεῖν ἁμαρτίας,
ἅπας μὲν οὐ γένοιτ᾽ ἂν εἰς ἡμᾶς φίλος,
ὅσον δὲ χρήιζει (θεὸς γάρ ἐστι) δέξομαι.
Ιων τί ποτε λόγοισιν ἡ ξένη πρὸς τὸν θεὸν
κρυπτοῖσιν αἰεὶ λοιδοροῦς᾽ αἰνίσσεται;
ἤτοι φιλοῦσά γ᾽ ἧς ὕπερ μαντεύεται,
ἢ καί τι σιγῶς᾽ ὧν σιωπᾶσθαι χρεών;
ἀτὰρ θυγατρὸς τῆς Ἐρεχθέως τί μοι μέλει; προσήκει γ᾽ οὐδέν. ἀλλὰ χρυσέαις
πρόχοισιν ἐλθὼν εἰς ἀπορραντήρια
δρόσον καθήσω. νουθετητέος δέ μοι
Φοῖβος, τί πάσχει· παρθένους βίαι γαμῶν
προδίδωσι; παῖδας ἐκτεκνούμενος λάθραι
θνήισκοντας ἀμελεῖ; μὴ σύ γ᾽· ἀλλ᾽, ἐπεὶ κρατεῖς,
ἀρετὰς δίωκε. καὶ γὰρ ὅστις ἂν βροτῶν
κακὸς πεφύκηι, ζημιοῦσιν οἱ θεοί.
πῶς οὖν δίκαιον τοὺς νόμους ὑμᾶς βροτοῖς
γράψαντας αὐτοὺς ἀνομίαν ὀφλισκάνειν;
εἰ δ᾽ (οὐ γὰρ ἔσται, τῶι λόγωι δὲ χρήσομαι)
δίκας βιαίων δώσετ᾽ ἀνθρώποις γάμων
σὺ καὶ Ποσειδῶν Ζεύς θ᾽ ὃς οὐρανοῦ κρατεῖ,
ναοὺς τίνοντες ἀδικίας κενώσετε.
τὰς ἡδονὰς γὰρ τῆς προμηθίας πέρα
σπεύδοντες ἀδικεῖτ᾽. οὐκέτ᾽ ἀνθρώπους κακοὺς λέγειν δίκαιον, εἰ τὰ τῶν θεῶν καλὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μιμούμεθ’, ἀλλὰ τοὺς διδάσκοντας τάδε.
Χο. σὲ τὰν ὠδίνων λοχιᾶν
ἀνειλείθυιαν, ἐμὰν
Ἀθάναν, ἱκετεύω,
Προμηθεῖ Τιτᾶνι λοχευθεῖσαν κατ’ ἀκροτάτας
κορυφᾶς Διός, ὦ μάκαιρα Νίκα,
μόλε Πύθιον οἶκον,
Ὀλύμπου χρυσέων θαλάμων
πταμένα πρὸς ἀγυιάς,
Φοιβήιος ἔνθα γᾶς
μεσόμφαλος ἑστία
παρὰ χορευομένωι τρίποδι
μαντεύματα κραίνει,
σὺ καὶ παῖς ἁ Λατογενής,
δύο θεαὶ δύο παρθένοι,
κασίγνηται σεμναὶ Φοίβου.
ἱκετεύσατε δ’, ὦ κόραι,
τὸ παλαιὸν Ἐρεχθέως
γένος εὐτεκνίας χρονίου καθαροῖς
μαντεύμασι κῦρσαι.
ὑπερβαλλούσας γὰρ ἔχει
θνατοῖς εὐδαιμονίας
ἀκίνητον ἀφορμάν,
τέκνων οἷς ἂν καρποφόροι
λάμπωσιν ἐν θαλάμοις
πατρίοισι νεάνιδες ἧβαι,
διαδέκτορα πλοῦτον
ὡς ἕξοντες ἐκ πατέρων
ἑτέροις ἐπὶ τέκνοις.
ἄλκαρ τε γὰρ ἐν κακοῖς
σύν τ’ εὐτυχίαις φίλον
δορί τε γᾶι πατρίαι φέρει
σωτήριον ἀλκάν.
ἐμοὶ μὲν πλούτου τε πάρος
βασιλικῶν τ’ εἶεν θαλάμων
τροφαὶ κήδειοι κεδνῶν γε τέκνων.
τὸν ἄπαιδα δ’ ἀποστυγῶ
βίον, ὧι τε δοκεῖ ψέγω·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μετὰ δὲ κτεάνων μετρίων βιοτᾶς
εὔπαιδος ἐχοίμαν.
ὦ Πανὸς θακήματα καὶ
παραυλίζουσα πέτρα
μυχώδεσι Μακραῖς,
ἵνα χοροὺς στείβουσι ποδοῖν
Ἀγλαύρου κόραι τρίγονοι
στάδια χλοερὰ πρὸ Παλλάδος
ναῶν συρίγγων
ὑπ’ αἰόλας ἰαχᾶς ὕμνων ὅτ’ ἀναλίοις
συρίζεις, ὦ Πάν,
τοῖσι σοῖς ἐν ἄντροις,
ἵνα τεκοῦσά τις
παρθένος μελέα βρέφος Φοίβωι πτανοῖς ἐξόρισεν
θοίναν θηρσί τε φονίαν
δαῖτα, πικρῶν γάμων ὕβριν.
οὔτ’ ἐπὶ κερκίσιν οὔτε λόγων φάτιν
ἄιον εὐτυχίας μετέχειν θεόθεν τέκνα θνατοῖς.
Ιων πρόσπολοι γυναῖκες, αἳ τῶνδ’ ἀμφὶ κρηπῖδας δόμων
θυοδόκων φρούρημ’ ἔχουσαι δεσπότιν φυλάσσετε,
ἐκλέλοιπ’ ἤδη τὸν ἱερὸν τρίποδα καὶ χρηστήριον
Ξοῦθος ἢ μίμνει κατ’ οἶκον ἱστορῶν ἀπαιδίαν;
Χο. ἐν δόμοις ἔστ’, ὦ ξέν’· οὔπω δῶμ’ ὑπερβαίνει τόδε.
ὡς δ’ ἐπ’ ἐξόδοισιν ὄντος, τῶνδ’ ἀκούομεν πυλῶν
δοῦπον, ἐξιόντα τ’ ἤδη δεσπότην ὁρᾶν πάρα.
Ξο. ὦ τέκνον, χαῖρ’· ἡ γὰρ ἀρχὴ τοῦ λόγου πρέπουσά μοι.
Ιων χαίρομεν· σὺ δ’ εὖ φρόνει γε, καὶ δύ’ ὄντ’ εὖ πράξομεν.
Ξο. δὸς χερὸς φίλημά μοι σῆς σώματός τ’ ἀμφιπτυχάς.
Ιων εὖ φρονεῖς μέν; ἤ ς’ ἔμηνεν θεοῦ τις, ὦ ξένε, βλάβη;
Ξο. οὐ φρονῶ, τὰ φίλταθ’ εὑρὼν εἰ φιλεῖν ἐφίεμαι;
Ιων παῦε, μὴ ψαύσας τὰ τοῦ θεοῦ στέμματα ῥήξῃς χερί.
Ξο. ἅψομαι· κοὐ ῥυσιάζω, τἀμὰ δ’ εὑρίσκω φίλα.
Ιων οὐκ ἀπαλλάξηι, πρὶν εἴσω τόξα πλευμόνων λαβεῖν;
Ξο. ὡς τί δὴ φεύγεις με σαυτοῦ γνωρίσαι τὰ φίλτατα;
Ιων οὐ φιλῶ φρενοῦν ἀμούσους καὶ μεμηνότας ξένους.
Ξο. κτεῖνε καὶ πίμπρη· πατρὸς γάρ, ἢν κτάνῃς, ἔσηι φονεύς. Ιων ποῦ δέ μοι πατὴρ σύ; ταῦτ’ οὖν οὐ γέλως κλύειν ἐμοί;
Ξο. οὔ· τρέχων ὁ μῦθος ἄν σοι τἀμὰ σημήνειεν ἄν.
Ιων καὶ τί μοι λέξεις; Ξο. πατὴρ σός εἰμι καὶ σὺ παῖς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

530.1 ἐμός.
530.2 Ιων τίς λέγει τάδ’; Ξο. ὅς ς’ ἔθρεψεν ὄντα Λοξίας ἐμόν.
530.3 Ιων μαρτυρεῖς σαυτῶι. Ξο. τὰ τοῦ θεοῦ γ’ ἐκμαθὼν χρη-
532.1 στήρια.
532.2 Ιων ἐσφάλης αἴνιγμ’ ἀκούσας. Ξο. οὐκ ἄρ’ ὄρθ’ ἀκούομεν.
532.3 Ιων ὁ δὲ λόγος τίς ἐστι Φοίβου; Ξο. τὸν συναντήσαντά μοι
535.1 Ιων τίνα συνάντησιν; Ξο. δόμων τῶνδ’ ἐξιόντι τοῦ θεοῦ
535.2 Ιων συμφορᾶς τίνος κυρῆσαι; Ξο. παῖδ’ ἐμὸν πεφυκέναι.
535.3 Ιων σὸν γεγῶτ’ ἢ δῶρον ἄλλων; Ξο. δῶρον, ὄντα δ’ ἐξ ἐμοῦ.
535.4 Ιων πρῶτα δῆτ’ ἐμοὶ ξυνάπτεις πόδα σόν; Ξο. οὐκ ἄλλωι
538.1 τέκνον.
538.2 Ιων ἡ τύχη πόθεν ποθ’ ἥκει; Ξο. δύο μίαν θαυμάζομεν.
540.1 Ιων ἐκ τίνος δέ σοι πέφυκα μητρός; Ξο. οὐκ ἔχω φράσαι.
540.2 Ιων οὐδὲ Φοῖβος εἶπε; Ξο. τερφθεὶς τοῦτο, κεῖν’ οὐκ ἠρόμην.
540.3 Ιων γῆς ἄρ’ ἐκπέφυκα μητρός; Ξο. οὐ πέδον τίκτει τέκνα.
540.4 Ιων πῶς ἂν οὖν εἴην σός; Ξο. οὐκ οἶδ’, ἀναφέρω δ’ ἐς τὸν θεόν.
540.5 Ιων φέρε λόγων ἁψώμεθ’ ἄλλων. Ξο. τοῦτ’ ἄμεινον, ὦ τέκνον.
545.1 Ιων ἦλθες ἐς νόθον τι λέκτρον; Ξο. μωρίαι γε τοῦ νέου.
545.2 Ιων πρὶν κόρην λαβεῖν Ἐρεχθέως; Ξο. οὐ γὰρ ὕστερόν γέ πω.
545.3 Ιων ἆρα δῆτ’ ἐκεῖ μ’ ἔφυσας; Ξο. τῶι χρόνωι γε συντρέχει.
545.4 Ιων κἆιτα πῶς ἀφικόμεσθα δεῦρο Ξο. τοῦτ’ ἀμηχανῶ.
545.5 Ιων διὰ μακρᾶς ἐλθὼν κελεύθου; Ξο. τοῦτο κἄμ’ ἀπαιολᾶι. Ιων Πυθίαν δ’ ἦλθες πέτραν πρίν; Ξο. ἐς φανάς γε Βακχίου.
545.6 Ιων προξένων δ’ ἔν του κατέσχες; Ξο. ὅς με Δελφίσιν κόραις
545.7 Ιων ἐθιάσευς’, ἢ πῶς τάδ’ αὐδᾶις; Ξο. Μαινάσιν γε Βακχίου.
545.8 Ιων ἔμφρον’ ἢ κάτοινον ὄντα; Ξο. Βακχίου πρὸς ἡδοναῖς.
545.9 Ιων τοῦτ’ ἐκεῖν’· ἵν’ ἐσπάρημεν Ξο. ὁ πότμος ἐξηῦρεν, τέκνον.
555.1 Ιων πῶς δ’ ἀφικόμεσθα ναούς; Ξο. ἔκβολον κόρης ἴσως.
555.2 Ιων ἐκπεφεύγαμεν τὸ δοῦλον. Ξο. πατέρα νυν δέχου, τέκνον.
555.3 Ιων τῶι θεῶι γοῦν οὐκ ἀπιστεῖν εἰκός. Ξο. εὖ φρονεῖς ἄρα.
555.4 Ιων καὶ τί βουλόμεσθά γ’ ἄλλο Ξο. νῦν ὁρᾶις ἃ χρή ς’ ὁρᾶν.
555.5 Ιων ἢ Διὸς παιδὸς γενέσθαι παῖς; Ξο. ὃ σοί γε γίγνεται.
560.1 Ιων ἦ θίγω δῆθ’ ὅς μ’ ἔφυσας; Ξο. πιθόμενός γε τῶι θεῶι.
560.2 Ιων χαῖρέ μοι, πάτερ Ξο. φίλον γε φθέγμ’ ἐδεξάμην τόδε.
560.3 Ιων ἡμέρα θ’ ἡ νῦν παροῦσα. Ξο. μακάριόν γ’ ἔθηκέ με.
560.4 Ιων ὦ φίλη μῆτερ, πότ’ ἆρα καὶ σὸν ὄψομαι δέμας;
560.5 νῦν ποθῶ σε μᾶλλον ἢ πρίν, ἥτις εἶ ποτ’, εἰσιδεῖν.
565.1 ἀλλ’ ἴσως τέθνηκας, ἡμεῖς δ’ οὐδ’ ὄναρ δυναίμεθ’ ἄν.
565.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Χο. κοιναὶ μὲν ἡμῖν δωμάτων εὐπραξίαι·
ὅμως δὲ καὶ δέσποιναν ἐς τέκν’ εὐτυχεῖν
ἐβουλόμην ἂν τούς τ’ Ἐρεχθέως δόμους.
Ξο. ὦ τέκνον, ἐς μὲν σὴν ἀνεύρεσιν θεὸς
ὀρθῶς ἔκρανε, καὶ συνῆψ’ ἐμοί τε σὲ
σύ τ’ αὖ τὰ φίλταθ’ ηὗρες οὐκ εἰδὼς πάρος.
οἷ δ’ ἦιξας ὀρθῶς, τοῦτο κἄμ’ ἔχει πόθος,
ὅπως σύ τ’, ὦ παῖ, μητέρ’ εὑρήσεις σέθεν
ἐγώ θ’ ὁποίας μοι γυναικὸς ἐξέφυς.
χρόνωι δὲ δόντες ταῦτ’ ἴσως εὕροιμεν ἄν.
ἀλλ’ ἐκλιπὼν θεοῦ δάπεδ’ ἀλητείαν τε σὴν
ἐς τὰς Ἀθήνας στεῖχε κοινόφρων πατρί
[οὗ σ’ ὄλβιον μὲν σκῆπτρον ἀναμένει πατρός,
πολὺς δὲ πλοῦτος· οὐδὲ θάτερον νοσῶν
δυοῖν κεκλήσηι δυσγενὴς πένης θ’ ἅμα,
ἀλλ’ εὐγενής τε καὶ πολυκτήμων βίου].
σιγᾶις; τί πρὸς γῆν ὄμμα σὸν βαλὼν ἔχεις
ἐς φροντίδας τ’ ἀπῆλθες, ἐκ δὲ χαρμονῆς
πάλιν μεταστὰς δεῖμα προσβάλλεις πατρί;
Ιων οὐ ταὐτὸν εἶδος φαίνεται τῶν πραγμάτων
πρόσωθεν ὄντων ἐγγύθεν θ’ ὁρωμένων.
ἐγὼ δὲ τὴν μὲν συμφορὰν ἀσπάζομαι,
πατέρα σ’ ἀνευρών· ὧν δὲ γιγνώσκω, πάτερ,
ἄκουσον. εἶναί φασι τὰς αὐτόχθονας
κλεινὰς Ἀθήνας οὐκ ἐπείσακτον γένος,
ἵν’ ἐσπεσοῦμαι δύο νόσω κεκτημένος,
πατρός τ’ ἐπακτοῦ καὐτὸς ὢν νοθαγενής.
καὶ τοῦτ’ ἔχων τοὔνειδος ἀσθενὴς μένων
μηδὲν καὶ οὐδὲν ὢν κεκλήσομαι.
ἢν δ’ ἐς τὸ πρῶτον πόλεος ὁρμηθεὶς ζυγὸν
ζητῶ τις εἶναι, τῶν μὲν ἀδυνάτων ὕπο
μισησόμεσθα· λυπρὰ γὰρ τὰ κρείσσονα.
ὅσοι δέ, χρηστοὶ δυνάμενοί τ’, ὄντες σοφοί,
σιγῶσι κοὐ σπεύδουσιν ἐς τὰ πράγματα, γέλωτ’ ἐν αὑτοῖς μωρίαν τε λήψομαι οὐχ ἡσυχάζων ἐν πόλει ψόγου πλέαι.
τῶν δ’ αὖ λογίων τε χρωμένων τε τῆι πόλει
ἐς ἀξίωμα βὰς πλέον φρουρήσομαι
ψήφοισιν. οὕτω γὰρ τάδ’, ὦ πάτερ, φιλεῖ·
οἳ τὰς πόλεις ἔχουσι κἀξιώματα

τοῖς ἀνθαμίλλοις εἰσὶ πολεμιώτατοι.
ἐλθὼν δ’ ἐς οἶκον ἀλλότριον ἔπηλυς ὢν
γυναῖκά θ’ ὡς ἄτεκνον, ἣ κοινουμένη
τῆς συμφορᾶς σοι πρόσθεν ἀπολαχοῦσα νῦν
αὐτὴ καθ’ αὑτὴν τὴν τύχην οἴσει πικρῶς,
πῶς οὐχ ὑπ’ αὐτῆς εἰκότως μισήσομαι,
ὅταν παραστῶ σοὶ μὲν ἐγγύθεν ποδός,
ἡ δ’ οὖσ’ ἄτεκνος τὰ σὰ φίλ’ εἰσορᾶι πικρῶς,
κᾆιτ’ ἢ προδοὺς σύ μ’ ἐς δάμαρτα σὴν βλέπηις
ἢ τἀμὰ τιμῶν δῶμα συγχέας ἔχηις;
ὅσας σφαγὰς δὴ φαρμάκων 〈τε〉 θανασίμων
γυναῖκες ηὗρον ἀνδράσιν διαφθοράς.
ἄλλως τε τὴν σὴν ἄλοχον οἰκτίρω, πάτερ,
ἄπαιδα γηράσκουσαν· οὐ γὰρ ἀξία
πατέρων ἀπ’ ἐσθλῶν οὖσ’ ἀπαιδίαι νοσεῖν.
τυραννίδος δὲ τῆς μάτην αἰνουμένης
τὸ μὲν πρόσωπον ἡδύ, τἀν δόμοισι δὲ
λυπηρά· τίς γὰρ μακάριος, τίς εὐτυχής,
ὅστις δεδοικὼς καὶ περιβλέπων βίαν
αἰῶνα τείνει; δημότης ἂν εὐτυχὴς ζῆν ἂν θέλοιμι μᾶλλον ἢ τύραννος ὤν,
ὧι τοὺς πονηροὺς ἡδονὴ φίλους ἔχειν,
ἐσθλοὺς δὲ μισεῖ κατθανεῖν φοβούμενος.
εἴποις ἂν ὡς ὁ χρυσὸς ἐκνικᾶι τάδε,
πλουτεῖν τε τερπνόν· οὐ φιλῶ ψόγους κλύειν
ἐν χερσὶ σώιζων ὄλβον οὐδ’ ἔχειν πόνους·
εἴη γ’ ἐμοὶ 〈μὲν〉 μέτρια μὴ λυπουμένωι.
ἃ δ’ ἐνθάδ’ εἶχον ἀγάθ’ ἄκουσόν μου, πάτερ·
τὴν φιλτάτην μὲν πρῶτον ἀνθρώποις σχολὴν
ὄχλον τε μέτριον, οὐδέ μ’ ἐξέπληξ’ ὁδοῦ
πονηρὸς οὐδείς· κεῖνο δ’ οὐκ ἀνασχετόν,
εἴκειν ὁδοῦ χαλῶντα τοῖς κακίοσιν.
θεῶν δ’ ἐν εὐχαῖς ἢ λόγοισιν ἦ βροτῶν
ὑπηρετῶν χαίρουσιν οὐ γοωμένοις.
καὶ τοὺς μὲν ἐξέπεμπον, οἱ δ’ ἧκον ξένοι,
ὥσθ’ ἡδὺς αἰεὶ καινὸς ἐν καινοῖσιν ἦ.
ὃ δ’ εὐκτὸν ἀνθρώποισι, κἂν ἄκουσιν ἦι,
δίκαιον εἶναί μ’ ὁ νόμος ἡ φύσις θ’ ἅμα
παρεῖχε τῶι θεῶι. ταῦτα συννοούμενος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κρείσσω νομίζω τἀνθάδ’ ἢ τἀκεῖ, πάτερ.
ἔα δέ μ’ αὐτοῦ ζῆν· ἴση γὰρ ἡ χάρις
μεγάλοισι χαίρειν σμικρά θ’ ἡδέως ἔχειν.
Χο. καλῶς ἔλεξας, εἴπερ οὓς ἐγὼ φιλῶ
ἐν τοῖσι σοῖσιν εὐτυχήσουσιν φίλοις. Ξο. παῦσαι λόγων τῶνδ’, εὐτυχεῖν δ’ ἐπίστασο· θέλω γὰρ οὗπέρ ς’ ηὗρον ἄρξασθαι, τέκνον,
κοινῆς τραπέζης, δαῖτα πρὸς κοινὴν πεσών,
θῦσαί θ’ ἅ σου πρὶν γενέθλι’ οὐκ ἐθύσαμεν.
καὶ νῦν μὲν ὡς δὴ ξένον ἄγων ς’ ἐφέστιον
δείπνοισι τέρψω, τῆς δ’ Ἀθηναίων χθονὸς
ἄξω θεατὴν δῆθεν, οὐχ ὡς ὄντ’ ἐμόν.
καὶ γὰρ γυναῖκα τὴν ἐμὴν οὐ βούλομαι
λυπεῖν ἄτεκνον οὖσαν αὐτὸς εὐτυχῶν.
χρόνωι δὲ καιρὸν λαμβάνων προσάξομαι
δάμαρτ’ ἐᾶν σε σκῆπτρα τἄμ’ ἔχειν χθονός.
Ἴωνα δ’ ὀνομάζω σε τῆι τύχηι πρέπον,
ὁθούνεκ’ ἀδύτων ἐξιόντι μοι θεοῦ
ἴχνος συνῆψας πρῶτος. ἀλλὰ τῶν φίλων
πλήρωμ’ ἀθροίσας βουθύτωι σὺν ἡδονῆι
πρόσειπε, μέλλων Δελφίδ’ ἐκλιπεῖν πόλιν.
ὑμῖν δὲ σιγᾶν, δμωίδες, λέγω τάδε,
ἢ θάνατον εἰπούσαισι πρὸς δάμαρτ’ ἐμήν.
Ιων στείχοιμ’ ἄν. ἓν δὲ τῆς τύχης ἄπεστί μοι·
εἰ μὴ γὰρ ἥτις μ’ ἔτεκεν εὑρήσω, πάτερ,
ἀβίωτον ἡμῖν. εἰ δ’ ἐπεύξασθαι χρεών,
ἐκ τῶν Ἀθηνῶν μ’ ἡ τεκοῦς’ εἴη γυνή,
ὥς μοι γένηται μητρόθεν παρρησία.
καθαρὰν γὰρ ἤν τις ἐς πόλιν πέσηι ξένος,
κἂν τοῖς λόγοισιν ἀστὸς ἦι, τό γε στόμα
δοῦλον πέπαται κοὐκ ἔχει παρρησίαν.
Χο. ὁρῶ δάκρυα καὶ πενθίμους
〈ἀλαλαγὰς〉 στεναγμάτων τ’ ἐσβολάς, ὅταν ἐμὰ τύραννος εὐπαιδίαν
πόσιν ἔχοντ’ εἰδῆι,
αὐτὴ δ’ ἄπαις ἦι καὶ λελειμμένη τέκνων.
τίν’, ὦ παῖ πρόμαντι Λατοῦς, ἔχρη-
σας ὑμνωιδίαν;
πόθεν ὁ παῖς ὅδ’ ἀμφὶ ναοὺς σέθεν
τρόφιμος ἐξέβα; γυναικῶν τίνος;
οὐ γάρ με σαίνει θέσφατα μή τιν’ ἔχηι δόλον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δειμαίνω συμφοράν,
ἐφ’ ὅ 〈τι〉 ποτὲ βάσεται.
ἄτοπος ἄτοπα γὰρ παραδίδωσί μοι
τάδε θεοῦ φήμα.
πλέκει δόλον τέχναν θ’ ὁ παῖς
ἄλλων τραφεὶς ἐξ αἱμάτων.
τίς οὐ τάδε ξυνοίσεται;
φίλαι, πότερ’ ἐμᾶι δεσποίναι
τάδε τορῶς ἐς οὖς γεγωνήσομεν
πόσιν ἐν ὧι τὰ πάντ’ ἔχους’ ἐλπίδων
μέτοχος ἦν τλάμων;
νῦν δ’ ἡ μὲν ἔρρει συμφοραῖς, ὁ δ’ εὐτυχεῖ, πόλιον ἐσπεσοῦσα γῆρας, πόσις δ’
ἀτίετος φίλων.
μέλεος, ὃς θυραῖος ἐλθὼν δόμους
μέγαν ἐς ὄλβον οὐκ ἴσωσεν τύχας.
ὄλοιτ’ ὄλοιτο πότνιαν ἐξαπαφὼν ἐμάν,
καὶ θεοῖσιν μὴ τύχοι καλλίφλογα πελανὸν ἐπὶ
πυρὶ καθαγνίσας· τὸ δ’ ἐμὸν εἴσεται
〈
〉 τυραννίδος φίλα.
ἤδη πέλας δεινῶν κυρεῖ
παῖς καὶ πατὴρ νέος νέου.
ἰὼ δειράδες Παρνασοῦ πέτρας
ἔχουσαι σκόπελον οὐράνιόν θ’ ἕδραν,
ἵνα Βάκχιος ἀμφιπύρους ἀνέχων πεύκας
λαιψηρὰ πηδᾶι νυκτιπόλοις ἅμα σὺν Βάκχαις.
μή 〈τί〉 ποτ’ εἰς ἐμὰν πόλιν ἵκοιθ’ ὁ παῖς,
νέαν δ’ ἁμέραν ἀπολιπὼν θάνοι.
στεγομένα γὰρ ἂν πόλις ἔχοι σκῆψιν
ξενικὸν ἐσβολάν 〈
〉
ἁλίσας ὁ πάρος ἀρχαγὸς ὢν
Ἐρεχθεὺς ἄναξ.
Κρ. ὦ πρέσβυ παιδαγώγ’ Ἐρεχθέως πατρὸς
τοὐμοῦ ποτ’ ὢν τόθ’ ἡνίκ’ ἦν ἔτ’ ἐν φάει,
ἔπαιρε σαυτὸν πρὸς θεοῦ χρηστήρια,
ὥς μοι συνησθῇς, εἴ τι Λοξίας ἄναξ
θέσπισμα παίδων ἐς γονὰς ἐφθέγξατο.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σὺν τοῖς φίλοις γὰρ ἡδὺ μὲν πράσσειν καλῶς·
ὃ μὴ γένοιτο δ’, εἴ τι τυγχάνοι κακόν,
ἐς ὄμματ’ εὔνου φωτὸς ἐμβλέψαι γλυκύ.
ἐγὼ δέ ϲ’, ὥσπερ καὶ σὺ πατέρ’ ἐμόν ποτε,
δέσποιν’ ὅμως οὖς’ ἀντικηδεύω πατρός.
ΠΡΕΣΒΥΤΗΣ
ὦ θύγατερ, ἄξι’ ἀξίων γεννητόρων
ἤθη φυλάσσεις κοὐ καταισχύνας’ ἔχεις
τοὺς σούς, παλαιῶν ἐκγόνους αὐτοχθόνων.
ἕλχ’ ἕλκε πρὸς μέλαθρα καὶ κόμιζέ με.
αἰπεινά μοι μαντεῖα· τοῦ γήρως δέ μοι
συνεκπονοῦσα κῶλον ἰατρὸς γενοῦ.
Κρ. ἕπου νυν· ἴχνος δ’ ἐκφύλασς’ ὅπου τίθης.
Πρ. ἰδού·
τὸ τοῦ ποδὸς μὲν βραδύ, τὸ τοῦ δὲ νοῦ ταχύ.
Κρ. βάκτρωι δ’ ἐρείδου· περιφερὴς στίβος χθονός.
Πρ. καὶ τοῦτο τυφλόν, ὅταν ἐγὼ βλέπω βραχύ.
Κρ. ὀρθῶς ἔλεξας· ἀλλὰ μὴ παρῆις κόπωι.
Πρ. οὔκουν ἑκών γε· τοῦ δ’ ἀπόντος οὐ κρατῶ.
Κρ. γυναῖκες, ἱστῶν τῶν ἐμῶν καὶ κερκίδος
δούλευμα πιστόν, τίνα τύχην λαβὼν πόσις
βέβηκε παίδων, ὧνπερ οὕνεχ’ ἥκομεν; σημήνατ’· εἰ γὰρ ἀγαθά μοι μηνύσετε,
οὐκ εἰς ἀπίστους δεσπότας βαλεῖς χάριν.
Χο. ἰὼ δαῖμον.
Κρ. τὸ φροίμιον μὲν τῶν λόγων οὐκ εὐτυχές.
Χο. ἰὼ τλᾶμον.
Κρ. ἀλλ’ ἦ τι θεσφάτοισι δεσποτῶν νοσεῖ;
Χο. αἰαῖ· τί δρῶμεν θάνατος ὧν κεῖται πέρι;
Κρ. τίς ἥδε μοῦσα χὠ φόβος τίνων πέρι;
Χο. εἴπωμεν ἢ σιγῶμεν ἢ τί δράσομεν;
Κρ. εἴφ’· ὡς ἔχεις γε συμφοράν τιν’ εἰς ἐμέ.
Χο. εἰρήσεταί τοι, κεἰ θανεῖν μέλλω διπλῆι.
οὐκ ἔστι σοι, δέσποιν’, ἐπ’ ἀγκάλαις λαβεῖν
τέκν’ οὐδὲ μαστῶι σῶι προσαρμόσαι ποτέ.
Κρ. ὤμοι θάνοιμι.
〈Πρ.〉 θύγατερ. 〈Κρ.〉 ὦ τάλαιν’
ἐγὼ συμφορᾶς, ἔλαβον ἔπαθον ἄχος
ἀβίοτον, φίλαι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

διοιχόμεσθα. Πρ. τέκνον.
Κρ. αἰαῖ αἰαῖ·
διανταῖος ἔτυπεν ὀδύνα με πλευ-
μόνων τῶνδ’ ἔσω. Πρ. μήπω στενάξῃς Κρ. ἀλλὰ πάρεισι γόοι.
Πρ. πρὶν ἂν μάθωμεν Κρ. ἀγγελίαν τίνα μοι;
Πρ. εἰ ταὐτὰ πράσσων δεσπότης τῆς συμφορᾶς
κοινωνός ἐστιν ἢ μόνη σὺ δυστυχεῖς.
Χο. κείνωι μέν, ὦ γεραιέ, παῖδα Λοξίας
ἔδωκεν, ἰδίαι δ’ εὐτυχεῖ ταύτης δίχα.
Κρ. τόδ’ ἐπὶ τῶιδε κακὸν ἄκρον ἔλακες 〈ἔλακεσ〉
ἄχος ἐμοὶ στένειν.
Πρ. πότερα δὲ φῦναι δεῖ γυναικὸς ἔκ τινος
τὸν παῖδ’ ὃν εἶπας ἢ γεγῶτ’ ἐθέσπισεν;
Χο. ἤδη πεφυκότ’ ἐκτελῆ νεανίαν
δίδωσιν αὐτῶι Λοξίας· παρῆ δ’ ἐγώ.
Κρ. πῶς φῄς; ἄφατον ἄφατον ἀναύδητον
λόγον ἐμοὶ θροεῖς.
Πρ. κἄμοιγε. πῶς δ’ ὁ χρησμὸς ἐκπεραίνεται
σαφέστερόν μοι φράζε χὤστις ἔσθ’ ὁ παῖς.
Χο. ὅτωι ξυναντήσειεν ἐκ θεοῦ συθεὶς
πρώτωι πόσις σός, παῖδ’ ἔδωκ’ αὐτῶι θεός.
Κρ. ὀτοτοτοῖ· τὸν ἐμὸν ἄτεκνον ἄτεκνον ἔλακ’
ἄρα βίοτον, ἐρημίαι δ’ ὀρφανοὺς
δόμους οἰκήσω.
Πρ. τίς οὖν ἐχρήσθη; τῶι συνῆψ’ ἴχνος ποδὸς
πόσις ταλαίνης; πῶς δὲ ποῦ νιν εἰσιδών;
Χο. οἶσθ’, ὦ φίλη δέσποινα, τὸν νεανίαν
ὃς τόνδ’ ἔσαιρε ναόν; οὗτός ἐσθ’ ὁ παῖς.
Κρ. ἀν’ ὑγρὸν ἀμπταίην αἰθέρα πόρσω γαί-
ας Ἑλλανίας ἀστέρας ἑσπέρους,
οἷον οἷον ἄλγος ἔπαθον, φίλαι. Πρ. ὄνομα δὲ ποῖον αὐτὸν ὀνομάζει πατήρ;
οἶσθ’, ἢ σιωπῆι τοῦτ’ ἀκύρωτον μένει;
Χο. Ἴων’, ἐπείπερ πρῶτος ἤντησεν πατρί·
μητρὸς δ’ ὁποίας ἐστὶν οὐκ ἔχω φράσαι.
φροῦδος δ’, ἵν’ εἰδῆις πάντα τἀπ’ ἐμοῦ, γέρον,
παιδὸς προθύσων ξένια καὶ γενέθλια
σκηνὰς ἐς ἱερὰς τῆσδε λαθραίως πόσις,
κοινὴν ξυνάψων δαῖτα παιδὶ τῶι νέωι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Πρ. δέσποινα, προδεδόμεσθα (σὺν γὰρ σοὶ νοσῶ)
τοῦ σοῦ πρὸς ἀνδρὸς καὶ μεμηχανημένως
ὑβριζόμεσθα δωμάτων τ’ Ἐρεχθέως
ἐκβαλλόμεσθα. καὶ σὸν οὐ στυγῶν πόσιν
λέγω, σὲ μέντοι μᾶλλον ἢ κεῖνον φιλῶν·
ὅστις σε γήμας ξένος ἐπεισελθὼν πόλιν
καὶ δῶμα καὶ σὴν παραλαβὼν παγκληρίαν
ἄλλης γυναικὸς παῖδας ἐκκαρπούμενος
λάθραι πέφηνεν· ὡς λάθραι δ’, ἐγὼ φράσω.
ἐπεί ς’ ἄτεκνον ἤισθετ’, οὐκ ἔστεργέ σοι
ὅμοιος εἶναι τῆς τύχης τ’ ἴσον φέρειν,
λαβὼν δὲ δοῦλα λέκτρα νυμφεύσας λάθραι
τὸν παῖδ’ ἔφυσεν, ἐξενωμένον δέ τωι
Δελφῶν δίδωσιν ἐκτρέφειν. ὁ δ’ ἐν θεοῦ δόμοισιν ἄφετος, ὡς λάθοι, παιδεύεται.
νεανίαν δ’ ὡς ἤισθετ’ ἐκτεθραμμένον,
ἐλθεῖν ς’ ἔπεισε δεῦρ’ ἀπαιδίας χάριν.
κᾆιθ’ ὁ θεὸς οὐκ ἐψεύσαθ’, ὅδε δ’ ἐψεύσατο
πάλαι τρέφων τὸν παῖδα, κἄπλεκεν πλοκὰς
τοιάσδ’· ἁλοὺς μὲν ἀνέφερ’ ἐς τὸν δαίμονα,
ἐλθὼν δὲ καὶ τὸν χρόνον ἀμύνεσθαι θέλων
τυραννίδ’ αὐτῶι περιβαλεῖν ἔμελλε γῆς.
[καινὸν δὲ τοὔνομ’ ἀνὰ χρόνον πεπλασμένον
Ἴων, ἰόντι δῆθεν ὅτι συνήντετο.]
Χο. οἴμοι, κακούργους ἄνδρας ὡς ἀεὶ στυγῶ,
οἳ συντιθέντες τἄδικ’ εἶτα μηχαναῖς
κοσμοῦσι. φαῦλον χρηστὸν ἂν λαβεῖν φίλον
θέλοιμι μᾶλλον ἢ κακὸν σοφώτερον.
Πρ. καὶ τῶνδ’ ἁπάντων ἔσχατον πείσηι κακόν·
ἀμήτορ’, ἀναρίθμητον, ἐκ δούλης τινὸς
γυναικὸς ἐς σὸν δῶμα δεσπότην ἄγει.
ἁπλοῦν ἂν ἦν γὰρ τὸ κακόν, εἰ παρ’ εὐγενοῦς
μητρός, πιθών σε, σὴν λέγων ἀπαιδίαν,
ἐσώικις’ οἴκους· εἰ δέ σοι τόδ’ ἦν πικρόν,
τῶν Αἰόλου νιν χρῆν ὀρεχθῆναι γάμων.
ἐκ τῶνδε δεῖ σε δὴ γυναικεῖόν τι δρᾶν. [ἢ γὰρ ξίφος λαβοῦσαν ἢ δόλωι τινὶ
ἢ φαρμάκοισι σὸν κατακτεῖναι πόσιν
καὶ παῖδα, πρὶν σοὶ θάνατον ἐκ κείνων μολεῖν.
εἰ γάρ γ’ ὑφήσεις τοῦδ’, ἀπαλλάξηι βίου.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δυοῖν γὰρ ἐχθροῖν εἰς ἓν ἐλθόντοιν στέγος
ἢ θάτερον δεῖ δυστυχεῖν ἢ θάτερον. ἐγὼ μὲν οὖν σοι καὶ συνεκπονεῖν θέλω
καὶ συμφονεύειν παῖδ’ ὑπεισελθὼν δόμους
οὗ δαῖθ’ ὁπλίζει καὶ τροφεῖα δεσπόταις
ἀποδοὺς θανεῖν τε ζῶν τε φέγγος εἰσορᾶν.
ἓν γάρ τι τοῖς δούλοισιν αἰσχύνην φέρει,
τοὔνομα· τὰ δ’ ἄλλα πάντα τῶν ἐλευθέρων
οὐδὲν κακίων δοῦλος, ὅστις ἐσθλὸς ἦι.
Χο. κἀγώ, φίλη δέσποινα, συμφορὰν θέλω
κοινουμένη τήνδ’ ἢ θανεῖν ἢ ζῆν καλῶς.]
Κρ. ὦ ψυχά, πῶς σιγάσω;
πῶς δὲ σκοτίας ἀναφήνω
εὐνάς, αἰδοῦς δ’ ἀπολειφθῶ;
τί γὰρ ἐμπόδιον κώλυμ’ ἔτι μοι;
πρὸς τίν’ ἀγῶνας τιθέμεσθ’ ἀρετῆς;
οὐ πόσις ἡμῶν προδότης γέγονεν;
στέρομαι δ’ οἴκων, στέρομαι παίδων,
φροῦδαι δ’ ἐλπίδες, ἃς διαθέσθαι
χρήιζουσα καλῶς οὐκ ἐδυνήθην,
σιγῶσα γάμους,
σιγῶσα τόκους πολυκλαύτους.
ἀλλ’ οὐ τὸ Διὸς πολύαστρον ἕδος
καὶ τὴν ἐπ’ ἐμοῖς σκοπέλοισι θεὰν
λίμνης τ’ ἐνύδρου Τριτωνιάδος
πότνιαν ἀκτήν,
οὐκέτι κρύψω λέχος, ὃ στέρνων
ἀπονησαμένη ῥάιων ἔσομαι.
στάζουσι κόραι δακρύοισιν ἐμαί,
ψυχὴ δ’ ἀλγεῖ κακοβουληθεῖς’
ἔκ τ’ ἀνθρώπων ἔκ τ’ ἀθανάτων,
οὓς ἀποδείξω
λέκτρων προδότας ἀχαρίστους.
ὦ τᾶς ἑπταφθόγγου μέλπων
κιθάρας ἐνοπάν, ἅτ’ ἀγραύλοις
κεράεσσιν ἐν ἀψύχοις ἀχεῖ
μουσᾶν ὕμνους εὐαχήτους,
σοὶ μομφάν, ὦ Λατοῦς παῖ,
πρὸς τάνδ’ αὐγὰν αὐδάσω.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἦλθές μοι χρυσῶι χαίταν
μαρμαίρων, εὖτ’ ἐς κόλπους
κρόκεα πέταλα φάρεσιν ἔδρεπον
ἀνθίζειν χρυσανταυγῆ·
λευκοῖς δ’ ἐμφὺς καρποῖσιν
χειρῶν εἰς ἄντρου κοίτας
κραυγὰν Ὦ μᾶτέρ μ’ αὐδῶσαν
θεὸς ὁμευνέτας
ἆγες ἀναιδείαι
Κύπριδι χάριν πράσσων.
τίκτω δ’ ἁ δύστανός σοι
κοῦρον, τὸν φρίκαι ματρὸς
βάλλω τὰν σὰν εἰς εὐνάν, ἵνα μ’ ἐν λέχεσιν μελέαν μελέοις
ἐζεύξω τὰν δύστανον.
οἴμοι μοι· καὶ νῦν ἔρρει
πτανοῖς ἁρπασθεὶς θοίνα
παῖς μοι καὶ σοί.
τλᾶμον, σὺ δὲ 〈καὶ〉 κιθάραι κλάζεις
παιᾶνας μέλπων.
ὠή, τὸν Λατοῦς αὐδῶ,
ὅστ’ ὀμφὰν κληροῖς
πρὸς χρυσέους θάκους
καὶ γαίας μεσσήρεις ἕδρας.
ἐς φῶς αὐδὰν καρύξω·
Ἰὼ 〈ἰὼ〉 κακὸς εὐνάτωρ,
ὃς τῶι μὲν ἐμῶι νυμφεύται χάριν οὐ προλαβὼν
παῖδ’ εἰς οἴκους οἰκίζεις·
ὁ δ’ ἐμὸς γενέτας καὶ σὸς ἀμαθὴς
οἰωνοῖς ἔρρει συλαθείς,
σπάργανα ματέρος ἐξαλλάξας.
μισεῖ ς’ ἁ Δᾶλος καὶ δάφνας
ἔρνεα φοίνικα παρ’ ἁβροκόμαν,
ἔνθα λοχεύματα σέμν’ ἐλοχεύσατο
Λατὼ Δίοισί σε κάποις.
Χο. οἴμοι, μέγας θησαυρὸς ὡς ἀνοίγνυται
κακῶν, ἐφ’ οἷσι πᾶς ἂν ἐκβάλοι δάκρυ.
Πρ. 〈ὦ〉 θύγατερ, οἴκτου σὸν βλέπων ἐμπίμπλαμαι
πρόσωπον, ἔξω δ’ ἐγενόμην γνώμης ἐμῆς.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κακῶν γὰρ ἄρτι κῦμ’ ὑπεξαντλῶν φρενί,
925.4 πρύμνηθεν αἴρει μ’ ἄλλο σῶν λόγων ὕπο,
925.5 οὓς ἐκβαλοῦσα τῶν παρεστώτων κακῶν
930.1 μετῆλθες ἄλλων πημάτων κακὰς ὁδούς.
930.2 τί φῄς; τίνα λόγον Λοξίου κατηγορεῖς;
930.3 ποῖον τεκεῖν φὴις παῖδα; ποῦ ’κθεῖναι πόλεως
930.4 θηρσὶν φίλον τύμβευμ’; ἄνελθέ μοι πάλιν.
930.5 Κρ. αἰσχύνομαι μέν ς’, ὦ γέρον, λέξω δ’ ὅμως.
935.1 Πρ. ὡς συστενάζειν γ’ οἶδα γενναίως φίλοις.
935.2 Κρ. ἄκουε τοίνυν· οἶσθα Κεκροπίων πετρῶν πρόσβορρον ἄντρον, ἃς Μακρὰς κικλήσκομεν;
935.3 Πρ. οἶδ’, ἔνθα Πανὸς ἄδυτα καὶ βωμοὶ πέλας.
935.4 Κρ. ἐνταῦθ’ ἀγῶνα δεινὸν ἠγωνίσμεθα.
940.1 Πρ. τίν’; ὡς ἀπαντᾶι δάκρυά μοι τοῖς σοῖς λόγοις.
940.2 Κρ. Φοίβωι ξυνῆψ’ ἄκουσα δύστηνον γάμον.
940.3 Πρ. ὦ θύγατερ, ἆρ’ ἦν ταῦθ’ ἅ γ’ ἠισθόμην ἐγώ;
940.4 Κρ. οὐκ οἶδ’· ἀληθῆ δ’ εἰ λέγεις φαίημεν ἄν.
940.5 Πρ. νόσον κρυφαίαν ἡνίκ’ ἔστενες λάθραι.
945.1 Κρ. τότ’ ἦν ἃ νῦν σοι φανερὰ σημαίνω κακά.
945.2 Πρ. κἆιτ’ ἐξέκλεψας πῶς Ἀπόλλωνος γάμους;
945.3 Κρ. ἔτεκον· ἀνάσχου ταῦτ’ ἐμοῦ κλύων, γέρον.
945.4 Πρ. ποῦ; τίς λοχεύει ς’; ἢ μόνη μοχθεῖς τάδε;
945.5 Κρ. μόνη κατ’ ἄντρον οὗπερ ἐζεύχθην γάμοις. Πρ. ὁ παῖς δὲ ποῦ ’στιν, ἵνα σὺ μηκέτ’ ἦις ἄπαις;
945.6 Κρ. τέθνηκεν, ὦ γεραιέ, θηρσὶν ἐκτεθείς.
945.7 Πρ. τέθνηκ’; Ἀπόλλων δ’ ὁ κακὸς οὐδὲν ἤρκεσεν;
945.8 Κρ. οὐκ ἤρκες’· Ἅιδου δ’ ἐν δόμοις παιδεύεται.
945.9 Πρ. τίς γάρ νιν ἐξέθηκεν; οὐ γὰρ δὴ σύ γε;
955.1 Κρ. ἡμεῖς, ἐν ὄρφνηι σπαργανώσαντες πέπλοις.
955.2 Πρ. οὐδὲ ξυνήιδει σοί τις ἔκθεσιν τέκνου;
955.3 Κρ. αἱ ξυμφοραί γε καὶ τὸ λανθάνειν μόνον.
955.4 Πρ. καὶ πῶς ἐν ἄντρωι παῖδα σὸν λιπεῖν ἔτλης;
955.5 Κρ. πῶς; οἰκτρὰ πολλὰ στόματος ἐκβαλοῦς’ ἔπη.
960 Πρ. φεῦ·
960.1 τλήμων σὺ τόλμης, ὁ δὲ θεὸς μᾶλλον σέθεν.
960.2 Κρ. εἰ παῖδά γ’ εἶδες χεῖρας ἐκτείνοντά μοι.
960.3 Πρ. μαστὸν διώκοντ’ ἢ πρὸς ἀγκάλαις πεσεῖν;
960.4 Κρ. ἐνταῦθ’ ἵν’ οὐκ ὢν ἄδικ’ ἔπασχεν ἐξ ἐμοῦ.
960.5 Πρ. σοὶ δ’ ἐς τί δόξ’ ἐσῆλθεν ἐκβαλεῖν τέκνον;
965.1 Κρ. ὡς τὸν θεὸν σώσοντα τόν γ’ αὑτοῦ γόνον.
965.2

Πρ. οἴμοι, δόμων σῶν ὄλβος ὡς χειμάζεται.
Κρ. τί κρᾶτα κρύψας, ὦ γέρον, δακρυρροεῖς;
Πρ. σὲ καὶ πατέρα σὸν δυστυχοῦντας εἰσορῶν.
Κρ. τὰ θνητὰ τοιαῦτ’· οὐδὲν ἐν ταὐτῶι μένει.
Πρ. μή νυν ἔτ’ οἴκτων, θύγατερ, ἀντεχώμεθα.
Κρ. τί γάρ με χρὴ δρᾶν; ἀπορία τὸ δυστυχεῖν.
Πρ. τὸν πρῶτον ἀδικήσαντά ς’ ἀποτίνου θεόν.
Κρ. καὶ πῶς τὰ κρείσσω θνητὸς οὖς’ ὑπερδράμω;
Πρ. πίμπρη τὰ σεμνὰ Λοξίου χρηστήρια.
Κρ. δέδοικα· καὶ νῦν πημάτων ἅδην ἔχω.
Πρ. τὰ δυνατά νυν τόλμησον, ἄνδρα σὸν κτανεῖν.
Κρ. αἰδούμεθ’ εὐνὰς τὰς τόθ’ ἡνίκ’ ἐσθλὸς ἦν.
Πρ. νῦν δ’ ἀλλὰ παῖδα τὸν ἐπὶ σοὶ πεφηνότα.
Κρ. πῶς; εἰ γὰρ εἴη δυνατόν· ὡς θέλοιμί γ’ ἄν.
Πρ. ξιφηφόρους σοὺς ὁπλίσας’ ὀπάονας.
Κρ. στείχοιμ’ ἄν· ἀλλὰ ποῦ γενήσεται τόδε;
Πρ. ἱεραῖσιν ἐν σκηναῖσιν οὗ θοινᾶι φίλους.
Κρ. ἐπίσημον ὁ φόνος καὶ τὸ δοῦλον ἀσθενές.
Πρ. ὤμοι, κακίζηι· φέρε, σύ νυν βούλευέ τι.
Κρ. καὶ μὴν ἔχω γε δόλια καὶ δραστήρια.
Πρ. ἀμφοῖν ἂν εἴην τοῖνδ’ ὑπηρέτης ἐγώ.
Κρ. ἄκουε τοίνυν· οἶσθα γηγενῆ μάχην;
Πρ. οἶδ’, ἣν Φλέγραι Γίγαντες ἔστησαν θεοῖς.
Κρ. ἐνταῦθα Γοργόν’ ἔτεκε Γῆ, δεινὸν τέρας.
Πρ. ἦ παισὶν αὑτῆς σύμμαχον, θεῶν πόνον;
Κρ. ναί· καί νιν ἔκτειν’ ἡ Διὸς Παλλὰς θεά.
Πρ. ἆρ’ οὗτός ἐσθ’ ὁ μῦθος ὃν κλύω πάλαι;
Κρ. ταύτης Ἀθάναν δέρος ἐπὶ στέρνοις ἔχειν.
Πρ. ἣν αἰγίδ’ ὀνομάζουσι, Παλλάδος στολήν;
Κρ. τόδ’ ἔσχεν ὄνομα θεῶν ὅτ’ ἦιξεν ἐς δόρυ.
Πρ. ποῖόν τι μορφῆς σχῆμ’ ἔχουσαν ἀγρίας;
Κρ. θώρακ’ ἐχίδνης περιβόλοις ὡπλισμένον.
Πρ. τί δῆτα, θύγατερ, τοῦτο σοῖς ἐχθροῖς βλάβος;
Κρ. Ἐριχθόνιον οἶσθ’ ἢ 〈οὔ〉; τί δ’ οὐ μέλλεις, γέρον; Πρ. ὃν πρῶτον ὑμῶν πρόγονον ἐξανῆκε γῆ;
Κρ. τούτωι δίδωσι Παλλὰς ὄντι νεογόνωι
Πρ. τί χρῆμα; μέλλον γάρ τι προσφέρεις ἔπος.
Κρ. δισσοὺς σταλαγμοὺς αἵματος Γοργοῦς ἄπο.
Πρ. ἰσχὺν ἔχοντας τίνα πρὸς ἀνθρώπου φύσιν;

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Κρ. τὸν μὲν θανάσιμον, τὸν δ’ ἀκεσφόρον νόσων.
Πρ. ἐν τῶι καθάψας’ ἀμφὶ παιδὶ σώματος;
Κρ. χρυσέοισι δεσμοῖς· ὁ δὲ δίδως’ ἐμῶι πατρί.
Πρ. κείνου δὲ κατθανόντος ἐς ς’ ἀφίκετο;
Κρ. ναί· κἀπὶ καρπῶι γ’ αὔτ’ ἐγὼ χερὸς φέρω.
Πρ. πῶς οὖν κέκρανται δίπτυχον δῶρον θεᾶς;
Κρ. κοίλης μὲν ὅστις φλεβὸς ἀπέσταξεν φόνος
Πρ. τί τῶιδε χρῆσθαι; δύναμιν ἐκφέρει τίνα;
Κρ. νόσους ἀπείργει καὶ τροφὰς ἔχει βίου.
Πρ. ὁ δεύτερος δ’ ἀριθμὸς ὧν λέγεις τί δρᾶι;
Κρ. κτείνει, δρακόντων ἰὸς ὢν τῶν Γοργόνος. Πρ. ἐς ἓν δὲ κραθέντ’ αὐτὸν ἢ χωρὶς φορεῖς;
Κρ. χωρίς· κακῶι γὰρ ἐσθλὸν οὐ συμμείγνυται.
Πρ. ὦ φιλτάτη παῖ, πάντ’ ἔχεις ὅσων σε δεῖ.
Κρ. τούτωι θανεῖται παῖς· σὺ δ’ ὁ κτείνων ἔσηι.
Πρ. ποῦ καὶ τί δράσας; σὸν λέγειν, τολμᾶν δ’ ἐμόν.
Κρ. ἐν ταῖς Ἀθήναις, δῶμ’ ὅταν τοὐμὸν μόληι.
Πρ. οὐκ εὖ τόδ’ εἶπας· καὶ σὺ γὰρ τοὐμὸν ψέγεις.
Κρ. πῶς; ἆρ’ ὑπείδου τοῦθ’ ὃ κἄμ’ ἐσέρχεται;
Πρ. σὺ παῖδα δόξεις διολέσαι, κεἰ μὴ κτενεῖς.
Κρ. ὀρθῶς· φθονεῖν γάρ φασι μητρυιὰς τέκνοις.
Πρ. αὐτοῦ νυν αὐτὸν κτεῖν’, ἵν’ ἀρνήσηι φόνους.
Κρ. προλάζυμαι γοῦν τῶι χρόνωι τῆς ἡδονῆς.
Πρ. καὶ σόν γε λήσεις πόσιν ἅ σε σπεύδει λαθεῖν.
Κρ. οἶσθ’ οὖν ὃ δρᾶσον· χειρὸς ἐξ ἐμῆς λαβὼν
χρύσωμ’ Ἀθάνας τόδε, παλαιὸν ὄργανον,
ἐλθὼν ἵν’ ἡμῖν βουθυτεῖ λάθραι πόσις,
δείπνων ὅταν λήγωσι καὶ σπονδὰς θεοῖς
μέλλωσι λείβειν, ἐν πέπλοις ἔχων τόδε
κάθες βαλὼν ἐς πῶμα τῶι νεανίαι
ἰδίαι γε, μή 〈τι〉 πᾶσι χωρίσας ποτόν,
τῶι τῶν ἐμῶν μέλλοντι δεσπόζειν δόμων.
κἄνπερ διέλθηι λαιμόν, οὔποθ’ ἵξεται
κλεινὰς Ἀθήνας, κατθανὼν δ’ αὐτοῦ μενεῖ.
Πρ. σὺ μέν νυν εἴσω προξένων μέθες πόδα·
ἡμεῖς δ’ ἐφ’ ὧι τετάγμεθ’ ἐκπονήσομεν.
ἄγ’, ὦ γεραιὲ πούς, νεανίας γενοῦ
ἔργοισι, κεἰ μὴ τῶι χρόνωι πάρεστί σοι.
ἐχθρὸν δ’ ἐπ’ ἄνδρα στεῖχε δεσποτῶν μέτα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ συμφόνευε καὶ συνεξαίρει δόμων.
τὴν δ’ εὐσέβειαν εὐτυχοῦσι μὲν καλὸν
τιμᾶν· ὅταν δὲ πολεμίους δρᾶσαι κακῶς
θέληι τις, οὐδεὶς ἐμποδὼν κεῖται νόμος.
Χο. Εἰνοδία θύγατερ Δάματρος, ἃ τῶν
νυκτιπόλων ἐφόδων ἀνάσσεις, καὶ μεθαμερίων
ὅδωσον δυσθανάτων
κρατήρων πληρώματ’ ἐφ’ οἷσι πέμπει
πότνια πότνι’ ἐμὰ χθονίας
Γοργοῦς λαιμοτόμων ἀπὸ σταλαγμῶν
τῶι τῶν Ἐρεχθεϊδᾶν
δόμων ἐφαπτομένωι·
μηδέ ποτ’ ἄλλος ἥ-
κων πόλεως ἀνάσσοι
πλὴν τῶν εὐγενετᾶν Ἐρεχθειδᾶν.
εἰ δ’ ἀτελὴς θάνατος σπουδαί τε δεσποί-
νας ὅ τε καιρὸς ἄπεισι τόλμας,
ἇι νῦν ἐλπὶς ἐφαί-
νετ’, ἢ θηκτὸν ξίφος ἢ
λαιμῶν ἐξάψει βροχὸν ἀμφὶ δειράν,
πάθεσι πάθεα δ’ ἐξανύτους’
εἰς ἄλλας βιότου κάτεισι μορφάς.
οὐ γὰρ δόμων γ’ ἑτέρους
ἄρχοντας ἀλλοδαποὺς
ζῶσά ποτ’ 〈ἐν〉 φαεν-
ναῖς ἀνέχοιτ’ ἂν αὐγαῖς
ἁ τῶν εὐπατριδᾶν γεγῶς’ οἴκων.
αἰσχύνομαι τὸν πολύυ-
μνον θεόν, εἰ παρὰ Καλλιχόροισι παγαῖς
λαμπάδα θεωρὸς εἰκάδων
ἐννύχιον ἄυπνος ὄψεται,
ὅτε καὶ Διὸς ἀστερωπὸς
ἀνεχόρευσεν αἰθήρ,
χορεύει δὲ σελάνα
καὶ πεντήκοντα κόραι
Νηρέος αἱ κατὰ πόντον
ἀεναῶν τε ποταμῶν
δίνας χορευόμεναι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὰν χρυσοστέφανον κόραν
καὶ ματέρα σεμνάν·
ἵν' ἐλπίζει βασιλεύ-
σειν ἄλλων πόνον ἐσπεσὼν
〈ὁ〉 Φοίβειος ἀλάτας.
ὁρᾶθ', ὅσοι δυσκελάδοι-
σιν κατὰ μοῦσαν ἰόντες ἀείδεθ' ὕμνοις ἁμέτερα λέχεα καὶ γάμους
Κύπριδος ἀθέμιτος ἀνοσίους,
ὅσον εὐσεβίαι κρατοῦμεν
ἄδικον ἄροτον ἀνδρῶν.
παλίμφαμος ἀοιδὰ
καὶ μοῦς' εἰς ἄνδρας ἴτω
δυσκέλαδος ἀμφὶ λέκτρων.
δείκνυσι γὰρ ὁ Διὸς ἐκ παίδων ἀμνημοσύναν,
οὐ κοινὰν τεκέων τύχαν
οἴκοισι φυτεύσας
δεσποίναι· πρὸς δ' Ἀφροδί-
ταν ἄλλαν θέμενος χάριν
νόθου παιδὸς ἔκυρσεν.
ΘΕΡΑΠΩΝ
κλεινήν, γυναῖκες, ποῦ κόρην Ἐρεχθέως
δέσποιναν εὕρω; πανταχῆι γὰρ ἄστεως
〈〉
ζητῶν νιν ἐξέπλησα κοὐκ ἔχω λαβεῖν.
Χο. τί δ' ἔστιν, ὦ ξύνδουλε; τίς προθυμία
ποδῶν ἔχει σε καὶ λόγους τίνας φέρεις; Θε. θηρώμεθ'· ἀρχαὶ δ' ἁπιχώριοι χθονὸς
ζητοῦσιν αὐτὴν ὡς θάνηι πετρουμένη.
Χο. οἴμοι, τί λέξεις; οὔτι που λελήμμεθα
κρυφαῖον ἐς παῖδ' ἐκπορίζουσαι φόνον;
Θε. ἔγνως· μεθέξεις δ' οὐκ ἐν ὑστάτοις κακοῦ.
Χο. ὤφθη δὲ πῶς τὰ κρυπτὰ μηχανήματα;
Θε. [τὸ μὴ δίκαιον τῆς δίκης ἡσσώμενον]
ἐξηῦρεν ὁ θεός, οὐ μιανθῆναι θέλων.
Χο. πῶς; ἀντιάζω ς' ἱκέτις ἐξειπεῖν τάδε.
πεπυσμέναι γάρ, εἰ θανεῖν ἡμᾶς χρεών,
ἥδιον ἂν θάνοιμεν, εἴθ' ὁρᾶν φάος.
Θε. ἐπεὶ θεοῦ μαντεῖον ᾤχετ' ἐκλιπὼν
πόσις Κρεούσης παῖδα τὸν καινὸν λαβὼν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πρὸς δεῖπνα θυσίας θ’ ἃς θεοῖς ὡπλίζετο,
Ξοῦθος μὲν ᾤχετ’ ἔνθα πῦρ πηδᾶι θεοῦ
βακχεῖον, ὡς σφαγαῖσι Διονύσου πέτρας
δεύσειε δισσὰς παιδὸς ἀντ’ ὀπτηρίων,
λέξας· Σὺ μέν νυν, τέκνον, ἀμφήρεις μένων
σκηνὰς ἀνίστη τεκτόνων μοχθήμασιν.
θύσας δὲ γενέταις θεοῖσιν ἢν μακρὸν χρόνον
μείνω, παροῦσι δαῖτες ἔστωσαν φίλοις.
λαβὼν δὲ μόσχους ᾤχεθ’· ὁ δὲ νεανίας
σεμνῶς ἀτοίχους περιβολὰς σκηνωμάτων
ὀρθοστάταις ἱδρύεθ’, ἡλίου βολὰς
καλῶς φυλάξας, οὔτε πρὸς μέσας φλογὸς
ἀκτῖνας οὔτ’ αὖ πρὸς τελευτώσας βίον, πλέθρου σταθμήσας μῆκος εἰς εὐγωνίαν,
μέτρημ’ ἔχουσαν τοὐν μέσωι γε μυρίων
ποδῶν ἀριθμόν, ὡς λέγουσιν οἱ σοφοί,
ὡς πάντα Δελφῶν λαὸν ἐς θοίνην καλῶν.
λαβὼν δ’ ὑφάσμαθ’ ἱερὰ θησαυρῶν πάρα
κατεσκίαζε, θαύματ’ ἀνθρώποις ὁρᾶν.
πρῶτον μὲν ὀρόφωι πτέρυγα περιβάλλει πέπλων,
ἀνάθημα Δίου παιδός, οὓς Ἡρακλέης
Ἀμαζόνων σκυλεύματ’ ἤνεγκεν θεῶι.
ἐνῆν δ’ ὑφανταὶ γράμμασιν τοιαίδ’ ὑφαί·
Οὐρανὸς ἀθροίζων ἄστρ’ ἐν αἰθέρος κύκλωι·
ἵππους μὲν ἤλαυν’ ἐς τελευταίαν φλόγα
Ἥλιος, ἐφέλκων λαμπρὸν Ἑσπέρου φάος· μελάμπεπλος δὲ Νὺξ ἀσείρωτον ζυγοῖς
ὄχημ’ ἔπαλλεν, ἄστρα δ’ ὡμάρτει θεᾶι·
Πλειὰς μὲν ἤιει μεσοπόρου δι’ αἰθέρος
ὅ τε ξιφήρης Ὠρίων, ὕπερθε δὲ
Ἄρκτος στρέφους’ οὐραῖα χρυσήρη πόλωι·
κύκλος δὲ πανσέληνος ἠκόντιζ’ ἄνω
μηνὸς διχήρης, Ὑάδες τε, ναυτίλοις
σαφέστατον σημεῖον, ἥ τε φωσφόρος
Ἕως διώκους’ ἄστρα. τοίχοισιν δ’ ἔπι
ἤμπισχεν ἄλλα βαρβάρων ὑφάσματα·
εὐηρέτμους ναῦς ἀντίας Ἑλληνίσιν
καὶ μιξόθηρας φῶτας ἱππείας τ’ ἄγρας
ἐλάφων λεόντων τ’ ἀγρίων θηράματα.
κατ’ εἰσόδους δὲ Κέκροπα θυγατέρων πέλας

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σπείραισιν εἱλίσσοντ’, Ἀθηναίων τινὸς
ἀνάθημα, χρυσέους τ’ ἐν μέσωι συσσιτίωι κρατῆρας ἔστης’. ἐν δ’ ἄκροισι βὰς ποσὶν
κῆρυξ ἀνεῖπε τὸν θέλοντ’ ἐγχωρίων
ἐς δαῖτα χωρεῖν. ὡς δ’ ἐπληρώθη στέγη,
στεφάνοισι κοσμηθέντες εὐόχθου βορᾶς
ψυχὴν ἐπλήρουν. ὡς δ’ ἀνεῖσαν ἡδονὴν
〈 〉 παρελθὼν πρέσβυς ἐς μέσον πέδον
ἔστη, γέλων δ’ ἔθηκε συνδείπνοις πολὺν
πρόθυμα πράσσων· ἔκ τε γὰρ κρωσσῶν ὕδωρ
χεροῖν ἔπεμπε νίπτρα κἀξεθυμία
σμύρνης ἱδρῶτα χρυσέων τ’ ἐκπωμάτων
ἦρχ’, αὐτὸς αὑτῶι τόνδε προστάξας πόνον.
ἐπεὶ δ’ ἐς αὐλοὺς ἧκον ἐς κρατῆρά τε
κοινόν, γέρων ἔλεξ’· Ἀφαρπάζειν χρεὼν
οἰνηρὰ τεύχη σμικρά, μεγάλα δ’ ἐσφέρειν,
ὡς θᾶσσον ἔλθως’ οἵδ’ ἐς ἡδονὰς φρενῶν.
ἦν δὴ φερόντων μόχθος ἀργυρηλάτους
χρυσέας τε φιάλας· ὁ δὲ λαβὼν ἐξαίρετον,
ὡς τῶι νέωι δὴ δεσπότηι χάριν φέρων,
ἔδωκε πλῆρες τεῦχος, εἰς οἶνον βαλὼν
ὅ φασι δοῦναι φάρμακον δραστήριον
δέσποιναν, ὡς παῖς ὁ νέος ἐκλίποι φάος.
κοὐδεὶς τάδ’ ἤιδειν. ἐν χεροῖν ἔχοντι δὲ
σπονδὰς μετ’ ἄλλων παιδὶ τῶι πεφηνότι
βλασφημίαν τις οἰκετῶν ἐφθέγξατο.
ὁ δ’, ὡς ἐν ἱερῶι μάντεσίν τ’ ἐσθλοῖς τραφείς, οἰωνὸν ἔθετο κἀκέλευς’ ἄλλον νέον
κρατῆρα πληροῦν· τὰς δὲ πρὶν σπονδὰς θεοῦ
δίδωσι γαίαι πᾶσί τ’ ἐκσπένδειν λέγει.
σιγὴ δ’ ὑπῆλθεν· ἐκ δ’ ἐπίμπλαμεν δρόσου
κρατῆρας ἱεροὺς Βιβλίνου τε πώματος.
κἀν τῶιδε μόχθωι πτηνὸς ἐσπίπτει δόμους
κῶμος πελειῶν (Λοξίου γὰρ ἐν δόμοις
ἄτρεστα ναίους’), ὡς δ’ ἀπέσπεισαν μέθυ
ἐς αὐτὸ χείλη πώματος κεχρημέναι καθῆκαν, εἷλκον δ’ εὐπτέρους ἐς αὐχένας.
καὶ ταῖς μὲν ἄλλαις ἄνοσος ἦν λοιβὴ θεοῦ·
ἣ δ’ ἕζετ’ ἔνθ’ ὁ καινὸς ἔσπεισεν γόνος
ποτοῦ τ’ ἐγεύσατ’ εὐθὺς εὔπτερον δέμας
ἔσεισε κἀβάκχευσεν, ἐκ δ’ ἔκλαγξ’ ὄπα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀξύνετον αἰάζους’· ἐθάμβησεν δὲ πᾶς
θοινατόρων ὅμιλος ὄρνιθος πόνους.
θνήισκει δ’ ἀπασπαίρουσα, φοινικοσκελεῖς
χηλὰς παρεῖσα. γυμνὰ δ’ ἐκ πέπλων μέλη
ὑπὲρ τραπέζης ἧχ’ ὁ μαντευτὸς γόνος,
βοᾶι δέ· Τίς μ’ ἔμελλεν ἀνθρώπων κτανεῖν;
σήμαινε, πρέσβυ· σὴ γὰρ ἡ προθυμία
καὶ πῶμα χειρὸς σῆς ἐδεξάμην πάρα.
εὐθὺς δ’ ἐρευνᾶι γραῖαν ὠλένην λαβών,
ἐπ’ αὐτοφώρωι πρέσβυν ὡς ἔχονθ’ ἕλοι
〈〉 .
ὤφθη δὲ καὶ κατεῖπ’ ἀναγκασθεὶς μόλις
τόλμας Κρεούσης πώματός τε μηχανάς. θεῖ δ’ εὐθὺς ἔξω συλλαβὼν θοινάτορας
ὁ πυθόχρηστος Λοξίου νεανίας,
κἀν κοιράνοισι Πυθικοῖς σταθεὶς λέγει·
Ὦ γαῖα σεμνή, τῆς Ἐρεχθέως ὕπο,
ξένης γυναικός, φαρμάκοισι θνήισκομεν.
Δελφῶν δ’ ἄνακτες ὥρισαν πετρορριφῆ
θανεῖν ἐμὴν δέσποιναν οὐ ψήφωι μιᾶι,
τὸν ἱερὸν ὡς κτείνουσαν ἔν τ’ ἀνακτόροις
φόνον τιθεῖσαν. πᾶσα δὲ ζητεῖ πόλις
τὴν ἀθλίως σπεύσασαν ἀθλίαν ὁδόν·
παίδων γὰρ ἐλθοῦς’ εἰς ἔρον Φοίβου πάρα
τὸ σῶμα κοινῆι τοῖς τέκνοις ἀπώλεσεν.
Χο. οὐκ ἔστ’ οὐκ ἔστιν θανάτου
παρατροπὰ μελέαι μοι·
φανερὰ φανερὰ τάδ’ ἤδη
σπονδὰς ἐκ Διονύσου
βοτρύων θοᾶς ἐχίδνας
σταγόσι μειγνυμένας φόνωι.
φανερὰ θύματα νερτέρων,
συμφοραὶ μὲν ἐμῶι βίωι,
λεύσιμοι δὲ καταφθοραὶ δεσποίναι.
τίνα φυγὰν πτερόεσσαν ἢ
χθονὸς ὑπὸ σκοτίους μυχοὺς πορευθῶ,
θανάτου λεύσιμον ἄταν
ἀποφεύγουσα, τεθρίππων ὠκιστᾶν χαλᾶν ἐπιβᾶς’
ἢ πρύμνας ἔπι ναῶν;

οὐκ ἔστι λαθεῖν ὅτε μὴ χρήιζων
θεὸς ἐκκλέπτει.
τί ποτ’, ὦ μελέα δέσποινα, μένει
ψυχῆι σε παθεῖν; ἆρα θέλουσαι
δρᾶσαί τι κακὸν τοὺς πέλας αὐταὶ
πεισόμεθ’ ὥσπερ τὸ δίκαιον; Κρ. πρόσπολοι, διωκόμεσθα θανασίμους ἐπὶ σφαγάς,
Πυθίαι ψήφωι κρατηθεῖς’, ἔκδοτος δὲ γίγνομαι.
Χο. ἴσμεν, ὦ τάλαινα, τὰς σὰς συμφοράς, ἵν’ εἶ τύχης.
Κρ. ποῖ φύγω δῆτ’; ἐκ γὰρ οἴκων προύλαβον μόλις πόδα
μὴ θανεῖν, κλοπῆι δ’ ἀφῖγμαι διαφυγοῦσα πολεμίους.
Χο. ποῖ δ’ ἂν ἄλλος’ ἢ ’πὶ βωμόν; Κρ. καὶ τί μοι πλέον
τόδε;
Χο. ἱκέτιν οὐ θέμις φονεύειν. Κρ. τῶι νόμωι δέ γ’ ὄλλυμαι.
Χο. χειρία γ’ ἁλοῦσα. Κρ. καὶ μὴν οἵδ’ ἀγωνισταὶ πικροὶ
δεῦρ’ ἐπείγονται ξιφήρεις. Χο. ἵζε νυν πυρᾶς ἔπι.
κἂν θάνῃς γὰρ ἐνθάδ’ οὖσα, τοῖς ἀποκτείνασί σε
προστρόπαιον αἷμα θήσεις· οἰστέον δὲ τὴν τύχην.
Ιων ὦ ταυρόμορφον ὄμμα Κηφισοῦ πατρός,
οἵαν ἔχιδναν τήνδ’ ἔφυσας ἢ πυρὸς
δράκοντ’ ἀναβλέποντα φοινίαν φλόγα,
ἧι τόλμα πᾶς’ ἔνεστιν οὐδ’ ἥσσων ἔφυ
Γοργοῦς σταλαγμῶν, οἷς ἔμελλέ με κτανεῖν.
λάζυσθ’, ἵν’ αὐτῆς τοὺς ἀκηράτους πλόκους
κόμης καταξήνωσι Παρνασοῦ πλάκες, ὅθεν πετραῖον ἅλμα δισκηθήσεται.
ἐσθλοῦ δ’ ἔκυρσα δαίμονος, πρὶν ἐς πόλιν
μολεῖν Ἀθηνῶν χὐπὸ μητρυιὰν πεσεῖν.
ἐν συμμάχοις γὰρ ἀνεμετρησάμην φρένας
τὰς σάς, ὅσον μοι πῆμα δυσμενής τ’ ἔφυς·
ἔσω γὰρ ἄν με περιβαλοῦσα δωμάτων
ἄρδην ἂν ἐξέπεμψας εἰς Ἅιδου δόμους.
[ἀλλ’ οὔτε βωμὸς οὔτ’ Ἀπόλλωνος δόμος
σώσει ς’· ὁ δ’ οἶκτος ὁ σὸς ἐμοὶ κρείσσων πάρα
καὶ μητρὶ τὴμῆι· καὶ γὰρ εἰ τὸ σῶμά μοι
ἄπεστιν αὐτῆς, τοὔνομ’ οὐκ ἄπεστί πω.]
ἴδεσθε τὴν πανοῦργον, ἐκ τέχνης τέχνην
οἵαν ἔπλεξε· βωμὸν ἔπτημεν θεοῦ
ὡς οὐ δίκην δώσουσα τῶν εἰργασμένων.
Κρ. ἀπεννέπω σε μὴ κατακτείνειν ἐμὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὑπέρ τ’ ἐμαυτῆς τοῦ θεοῦ θ’ ἵν’ ἕσταμεν.
Ιων τί δ’ ἐστὶ Φοίβωι σοί τε κοινὸν ἐν μέσωι;
Κρ. ἱερὸν τὸ σῶμα τῶι θεῶι δίδωμ’ ἔχειν.
Ιων κἄπειτ’ ἔκαινες φαρμάκοις τὸν τοῦ θεοῦ;
Κρ. ἀλλ’ οὐκέτ’ ἦσθα Λοξίου, πατρὸς δὲ σοῦ.
Ιων ἀλλ’ ἐγενόμεσθα, πατρὸς δ’ οὐσίαν λέγω.
Κρ. οὐκοῦν τότ’ ἦσθα· νῦν δ’ ἐγώ, σὺ δ’ οὐκέτι.
Ιων οὐκ εὐσεβεῖς γε· τἀμὰ δ’ εὐσεβῆ τότ’ ἦν.
Κρ. ἔκτεινά ς’ ὄντα πολέμιον δόμοις ἐμοῖς.
Ιων οὔτοι σὺν ὅπλοις ἦλθον ἐς τὴν σὴν χθόνα. Κρ. μάλιστα· κἀπίμπρης γ’ Ἐρεχθέως δόμους.
Ιων ποίοισι πανοῖς ἢ πυρὸς ποίαι φλογί;
Κρ. ἔμελλες οἰκεῖν τἄμ’, ἐμοῦ βίαι λαβών. Ιων κἄπειτα τοῦ μέλλειν μ’ ἀπέκτεινες φόβωι;
Κρ. ὡς μὴ θάνοιμί γ’, εἰ σὺ μὴ μέλλων τύχοις.
Ιων φθονεῖς ἄπαις οὖς’, εἰ πατὴρ ἐξηῦρέ με;
Κρ. σὺ τῶν ἀτέκνων δῆτ’ ἀναρπάσεις δόμους;
Ιων πατρός γε γῆν διδόντος ἣν ἐκτήσατο.
Κρ. τοῖς Αἰόλου δὲ πῶς μετῆν τῆς Παλλάδος;
Ιων ὅπλοισιν αὐτὴν οὐ λόγοις ἐρρύσατο.
Κρ. ἐπίκουρος οἰκήτωρ γ’ ἂν οὐκ εἴη χθονός.
Ιων ἡμῖν δέ γ’ ἀλλὰ πατρὶ γῆς οὐκ ἦν μέρος;
Κρ. ὅς’ ἀσπὶς ἔγχος θ’· ἥδε σοι παμπησία.
Ιων ἔκλειπε βωμὸν καὶ θεηλάτους ἕδρας.
Κρ. τὴν σὴν ὅπου σοι μητέρ’ ἐστὶ νουθέτει.
Ιων σὺ δ’ οὐχ ὑφέξεις ζημίαν κτείνους’ ἐμέ;
Κρ. ἤν γ’ ἐντὸς ἀδύτων τῶνδέ με σφάξαι θέλῃς.
Ιων τίς ἡδονή σοι θεοῦ θανεῖν ἐν στέμμασιν;
Κρ. λυπήσομέν τιν’ ὧν λελυπήμεσθ’ ὕπο.
Ιων φεῦ·
δεινόν γε θνητοῖς τοὺς νόμους ὡς οὐ καλῶς
ἔθηκεν ὁ θεὸς οὐδ’ ἀπὸ γνώμης σοφῆς·
τοὺς μὲν γὰρ ἀδίκους βωμὸν οὐχ ἵζειν ἐχρῆν
ἀλλ’ ἐξελαύνειν· οὐδὲ γὰρ ψαύειν καλὸν
θεῶν πονηρᾶι χειρί, τοῖσι δ’ ἐνδίκοις· ἱερὰ καθίζειν 〈δ’〉 ὅστις ἠδικεῖτ’ ἐχρῆν,
καὶ μὴ ’πὶ ταὐτὸ τοῦτ’ ἰόντ’ ἔχειν ἴσον
τόν τ’ ἐσθλὸν ὄντα τόν τε μὴ θεῶν πάρα.
ΠΡΟΦΗΤΙΣ
ἐπίσχες, ὦ παῖ· τρίποδα γὰρ χρηστήριον
λιποῦσα θριγκοὺς τούσδ’ ὑπερβάλλω ποδὶ

Φοίβου προφῆτις, τρίποδος ἀρχαῖον νόμον
σώιζουσα, πασῶν Δελφίδων ἐξαίρετος.
Ιων χαῖρ’, ὦ φίλη μοι μῆτερ, οὐ τεκοῦσά περ.
Πρ. ἀλλ’ οὖν λεγόμεθά γ’· ἡ φάτις δ’ οὔ μοι πικρά.
Ιων ἤκουσας ὥς μ’ ἔκτεινεν ἥδε μηχαναῖς;
Πρ. ἤκουσα· καὶ σὺ δ’ ὠμὸς ὢν ἁμαρτάνεις.
Ιων οὐ χρή με τοὺς κτείνοντας ἀνταπολλύναι;
Πρ. προγόνοις δάμαρτες δυσμενεῖς ἀεί ποτε.
Ιων ἡμεῖς δὲ μητρυιαῖς γε πάσχοντες κακῶς.
Πρ. μὴ ταῦτα· λείπων ἱερὰ καὶ στείχων πάτραν
Ιων τί δή με δρᾶσαι νουθετούμενον χρεών;
Πρ. καθαρὸς Ἀθήνας ἔλθ’ ὑπ’ οἰωνῶν καλῶν.
Ιων καθαρὸς ἅπας τοι πολεμίους ὃς ἂν κτάνηι.
Πρ. μὴ σύ γε· παρ’ ἡμῶν δ’ ἔκλαβ’ οὓς ἔχω λόγους.
Ιων λέγοις ἄν· εὔνους δ’ οὖς’ ἐρεῖς ὅς’ ἂν λέγηις.
Πρ. ὁρᾶις τόδ’ ἄγγος χερὸς ὑπ’ ἀγκάλαις ἐμαῖς;
Ιων ὁρῶ παλαιὰν ἀντίπηγ’ ἐν στέμμασιν.
Πρ. ἐν τῆιδέ ς’ ἔλαβον νεόγονον βρέφος ποτέ.
Ιων τί φῄς; ὁ μῦθος εἰσενήνεκται νέος.
Πρ. σιγῆι γὰρ εἶχον αὐτά· νῦν δὲ δείκνυμεν. Ιων πῶς οὖν ἔκρυπτες τότε λαβοῦσ’ ἡμᾶς πάλαι;
Πρ. ὁ θεὸς ἐβούλετ’ ἐν δόμοις 〈σ’〉 ἔχειν λάτριν.
Ιων νῦν δ’ οὐχὶ χρήιζει; τῶι τόδε γνῶναί με χρή;
Πρ. πατέρα κατειπὼν τῆσδέ ς’ ἐκπέμπει χθονός.
Ιων σὺ δ’ ἐκ κελευσμῶν ἢ πόθεν σώιζεις τάδε;
Πρ. ἐνθύμιόν μοι τότε τίθησι Λοξίας.
Ιων τί χρῆμα δρᾶσαι; λέγε, πέραινε σοὺς λόγους.
Πρ. σῶσαι τόδ’ εὕρημ’ ἐς τὸν ὄντα νῦν χρόνον. Ιων ἔχει δέ μοι τί κέρδος ἢ τίνα βλάβην;
Πρ. ἐνθάδε κέκρυπται σπάργαν’ οἷς ἐνῆσθα σύ.
Ιων μητρὸς τάδ’ ἡμῖν ἐκφέρεις ζητήματα;
Πρ. ἐπεί γ’ ὁ δαίμων βούλεται· πάροιθε δ’ οὔ.
Ιων ὦ μακαρία μοι φασμάτων ἥδ’ ἡμέρα.
Πρ. λαβών νυν αὐτὰ τὴν τεκοῦσαν ἐκπόνει.
〈Ιων〉 πᾶσάν γ’ ἐπελθὼν Ἀσιάδ’ Εὐρώπης θ’ ὅρους.
〈Πρ.〉 γνώσηι τάδ’ αὐτός. τοῦ θεοῦ δ’ ἕκατί σε
ἔθρεψά τ’, ὦ παῖ, καὶ τάδ’ ἀποδίδωμί σοι,
ἃ κεῖνος ἀκέλευστόν μ’ ἐβουλήθη λαβεῖν
σῶσαί θ’· ὅτου δ’ ἐβούλεθ’ οὕνεκ’ οὐκ ἔχω λέγειν.
ᾔδει δὲ θνητῶν οὔτις ἀνθρώπων τάδε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔχοντας ἡμᾶς οὐδ’ ἵν’ ἦν κεκρυμμένα.
καὶ χαῖρ’· ἴσον γάρ ς’ ὡς τεκοῦς’ ἀσπάζομαι.
[ἄρξαι δ’ ὅθεν σὴν μητέρα ζητεῖν σε χρή·
πρῶτον μὲν εἴ τις Δελφίδων τεκοῦσά σε ἐς τούσδε ναοὺς ἐξέθηκε παρθένος,
ἔπειτα δ’ εἴ τις Ἑλλάς. ἐξ ἡμῶν δ’ ἔχεις
ἅπαντα Φοίβου θ’, ὃς μετέσχε τῆς τύχης.]
Ιων φεῦ φεῦ· κατ’ ὄσσων ὡς ὑγρὸν βάλλω δάκρυ,
ἐκεῖσε τὸν νοῦν δοὺς ὅθ’ ἡ τεκοῦσά με
κρυφαῖα νυμφευθεῖς’ ἀπημπόλα λάθραι
καὶ μαστὸν οὐκ ἐπέσχεν· ἀλλ’ ἀνώνυμος
ἐν θεοῦ μελάθροις εἶχον οἰκέτην βίον.
τὰ τοῦ θεοῦ μὲν χρηστά, τοῦ δὲ δαίμονος
βαρέα· χρόνον γὰρ ὅν μ’ ἐχρῆν ἐν ἀγκάλαις
μητρὸς τρυφῆσαι καί τι τερφθῆναι βίου
ἀπεστερήθην φιλτάτης μητρὸς τροφῆς.
τλήμων δὲ χἠ τεκοῦσά μ’· ὡς ταὐτὸν πάθος
πέπονθε, παιδὸς ἀπολέσασα χαρμονάς.
καὶ νῦν λαβὼν τήνδ’ ἀντίπηγ’ οἴσω θεῶι
ἀνάθημ’, ἵν’ εὕρω μηδὲν ὧν οὐ βούλομαι.
εἰ γάρ με δούλη τυγχάνει τεκοῦσά τις,
εὑρεῖν κάκιον μητέρ’ ἢ σιγῶντ’ ἐᾶν.
ὦ Φοῖβε, ναοῖς ἀνατίθημι τήνδε σοῖς·
καίτοι τί πάσχω; τοῦ θεοῦ προθυμίαι
πολεμῶ, τὰ μητρὸς σύμβολ’ ὃς σέσωκέ μοι;
ἀνοικτέον τάδ’ ἐστὶ καὶ τολμητέον·
τὰ γὰρ πεπρωμέν’ οὐχ ὑπερβαίην ποτ’ ἄν.
ὦ στέμμαθ’ ἱερά, τί ποτέ μοι κεκεύθατε,
καὶ σύνδεθ’ οἷσι τἄμ’ ἐφρουρήθη φίλα;
ἰδοὺ περίπτυγμ’ ἀντίπηγος εὐκύκλου
ὡς οὐ γεγήρακ’ ἔκ τινος θεηλάτου, εὐρώς τ’ ἄπεστι πλεγμάτων· ὁ δ’ ἐν μέσωι
χρόνος πολὺς δὴ τοῖσδε θησαυρίσμασιν.
Κρ. τί δῆτα φάσμα τῶν ἀνελπίστων ὁρῶ;
Ιων σίγα σύ· πῆμα καὶ πάροιθεν ἦσθά μοι.
Κρ. οὐκ ἐν σιωπῆι τἀμά· μή με νουθέτει.
ὁρῶ γὰρ ἄγγος ὧι ’ξέθηκ’ ἐγώ ποτε
σέ γ’, ὦ τέκνον μοι, βρέφος ἔτ’ ὄντα νήπιον, Κέκροπος ἐς ἄντρα καὶ Μακρὰς πετρηρεφεῖς.
λείψω δὲ βωμὸν τόνδε, κεἰ θανεῖν με χρή.
Ιων λάζυσθε τήνδε· θεομανὴς γὰρ ἥλατο

βωμοῦ λιποῦσα ξόανα· δεῖτε δ’ ὠλένας.
Κρ. σφάζοντες οὐ λήγοιτ’ ἄν· ὡς ἀνθέξομαι
καὶ τῆσδε καὶ σοῦ τῶν τ’ ἔσω κεκρυμμένων.
Ιων τάδ’ οὐχὶ δεινά; ῥυσιάζομαι δόλωι.
Κρ. οὔκ, ἀλλὰ σοῖς φίλοισιν εὑρίσκηι φίλος.
Ιων ἐγὼ φίλος σός; κἆιτά μ’ ἔκτεινες λάθραι;
Κρ. παῖς γ’, εἰ τόδ’ ἐστὶ τοῖς τεκοῦσι φίλτατον.
Ιων παῦσαι πλέκουσα—λήψομαί ς’ ἐγώ—πλοκάς.
Κρ. ἐς τοῦθ’ ἱκοίμην, τοῦδε τοξεύω, τέκνον.
Ιων κενὸν τόδ’ ἄγγος ἢ στέγει πλήρωμά τι;
Κρ. σά γ’ ἔνδυθ’, οἷσί ς’ ἐξέθηκ’ ἐγώ ποτε.
Ιων καὶ τοὔνομ’ αὐτῶν ἐξερεῖς πρὶν εἰσιδεῖν;
Κρ. κἂν μὴ φράσω γε, κατθανεῖν ὑφίσταμαι.
Ιων λέγ’· ὡς ἔχει τι δεινὸν ἥ γε τόλμα σου.
Κρ. σκέψασθ’ ὃ παῖς ποτ’ οὖς’ ὕφασμ’ ὕφην’ ἐγώ. Ιων ποῖόν τι; πολλὰ παρθένων ὑφάσματα.
Κρ. οὐ τέλεον, οἷον δ’ ἐκδίδαγμα κερκίδος.
Ιων μορφὴν ἔχον τίν’; ὥς με μὴ ταύτηι λάβηις.
Κρ. Γοργὼν μὲν ἐν μέσοισιν ἠτρίοις πέπλων.
Ιων ὦ Ζεῦ, τίς ἡμᾶς ἐκκυνηγετεῖ πότμος;
Κρ. κεκρασπέδωται δ’ ὄφεσιν αἰγίδος τρόπον.
Ιων ἰδού·
τόδ’ ἔσθ’ ὕφασμα θέσφαθ’ ὡς εὑρίσκομεν.
Κρ. ὦ χρόνιον ἱστῶν παρθένευμα τῶν ἐμῶν.
Ιων ἔστιν τι πρὸς τῶιδ’ ἢ μόνον τόδ’ εὐτυχεῖς;
Κρ. δράκοντε μαρμαίροντε πάγχρυσον γένυν,
δώρημ’ Ἀθάνας, οἷς τέκν’ ἐντρέφειν λέγει,
Ἐριχθονίου γε τοῦ πάλαι μιμήματα.
Ιων τί δρᾶν, τί χρῆσθαι, φράζε μοι, χρυσώματι;
Κρ. δέραια παιδὶ νεογόνωι φέρειν, τέκνον.
Ιων ἔνεισιν οἵδε· τὸ δὲ τρίτον ποθῶ μαθεῖν.
Κρ. στέφανον ἐλαίας ἀμφέθηκά σοι τότε,
ἣν πρῶτ’ Ἀθάνας σκόπελος ἐξηνέγκατο,
ὅς, εἴπερ ἐστίν, οὔποτ’ ἐκλείπει χλόην,
θάλλει δ’, ἐλαίας ἐξ ἀκηράτου γεγώς.
Ιων ὦ φιλτάτη μοι μῆτερ, ἄσμενός ς’ ἰδὼν πρὸς ἀσμένας πέπτωκα σὰς παρηίδας.
Κρ. ὦ τέκνον, ὦ φῶς μητρὶ κρεῖσσον ἡλίου
(συγγνώσεται γὰρ ὁ θεός), ἐν χεροῖν ς’ ἔχω,
ἄελπτον εὕρημ’, ὃν κατὰ γᾶς ἐνέρων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χθονίων μέτα Περσεφόνας τ’ ἐδόκουν ναίειν.
Ιων ἀλλ’, ὦ φίλη μοι μῆτερ, ἐν χεροῖν σέθεν
ὁ κατθανών τε κοὐ θανὼν φαντάζομαι.
Κρ. ἰὼ ἰὼ λαμπρᾶς αἰθέρος ἀμπτυχαί,
τίν’ αὐδὰν ἀύσω βοάσω; πόθεν μοι
συνέκυρς’ ἀδόκητος ἡδονά;
πόθεν ἐλάβομεν χαράν; Ιων ἐμοὶ γενέσθαι πάντα μᾶλλον ἄν ποτε,
μῆτερ, παρέστη τῶνδ’, ὅπως σός εἰμ’ ἐγώ.
Κρ. ἔτι φόβωι τρέμω.
Ιων μῶν οὐκ ἔχειν μ’ ἔχουσα; Κρ. τὰς γὰρ ἐλπίδας
ἀπέβαλον πρόσω.
ἰὼ 〈ἰὼ〉 γύναι, πόθεν ἔλαβες ἐμὸν
βρέφος ἐς ἀγκάλας;
τίν’ ἀνὰ χέρα δόμους ἔβα Λοξίου;
Ιων θεῖον τόδ’· ἀλλὰ τἀπίλοιπα τῆς τύχης
εὐδαιμονοῖμεν, ὡς τὰ πρόσθ’ ἐδυστύχει.
Κρ. τέκνον, οὐκ ἀδάκρυτος ἐκλοχεύηι,
γόοις δὲ ματρὸς ἐκ χερῶν ὁρίζηι.
νῦν δὲ γενειάσιν πάρα σέθεν πνέω
μακαριωτάτας τυχοῦς’ ἡδονᾶς.
Ιων τοὐμὸν λέγουσα καὶ τὸ σὸν κοινῶς λέγεις.
Κρ. ἄπαιδες οὐκέτ’ ἐσμὲν οὐδ’ ἄτεκνοι· δῶμ’ ἑστιοῦται, γᾶ δ’ ἔχει τυράννους,
ἀνηβᾶι δ’ Ἐρεχθεύς·
ὅ τε γηγενέτας δόμος οὐκέτι νύκτα δέρκεται,
ἀελίου δ’ ἀναβλέπει λαμπάσιν.
Ιων μῆτερ, παρών μοι καὶ πατὴρ μετασχέτω
τῆς ἡδονῆς τῆσδ’ ἧς ἔδωχ’ ὑμῖν ἐγώ.
Κρ. ὦ τέκνον,
τί φήις; οἷον οἷον ἀνελέγχομαι.
Ιων πῶς εἶπας; 〈Κρ.〉 ἄλλοθεν γέγονας, ἄλλοθεν.
Ιων ὤμοι· νόθον με παρθένευμ’ ἔτικτε σόν;
Κρ. οὐχ ὑπὸ λαμπάδων οὐδὲ χορευμάτων
ὑμέναιος ἐμός,
τέκνον, ἔτικτε σὸν κάρα.
Ιων αἰαῖ· πέφυκα δυσγενής, μῆτερ; πόθεν;
Κρ. ἴστω Γοργοφόνα Ιων τί τοῦτ’ ἔλεξας;
Κρ. ἃ σκοπέλοις ἐπ’ ἐμοῖς
τὸν ἐλαιοφυῆ πάγον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

θάσσει Ιων λέγεις μοι σκολιὰ κοὐ σαφῆ τάδε.
Κρ. παρ’ ἀηδόνιον πέτραν
Φοίβωι Ιων τί Φοῖβον αὐδᾶις;
Κρ. κρυπτόμενον λέχος ηὐνάσθην
Ιων λέγ’· ὡς ἐρεῖς τι κεδνὸν εὐτυχές τέ μοι.
Κρ. δεκάτωι δέ σε μηνὸς ἐν
κύκλωι κρύφιον ὠδῖν’ ἔτεκον Φοίβωι.
Ιων ὦ φίλτατ’ εἰποῦς’, εἰ λέγεις ἐτήτυμα. Κρ. παρθένια δ’ ἐμᾶς ματέρος
σπάργαν’ ἀμφίβολά σοι τάδ’ ἀνῆψα κερ-
κίδος ἐμᾶς πλάνους.
γάλακτι δ’ οὐκ ἐπέσχον οὐδὲ μαστῶι
τροφεῖα ματρὸς οὐδὲ λουτρὰ χειροῖν,
ἀνὰ δ’ ἄντρον ἔρημον οἰωνῶν
γαμφηλαῖς φόνευμα θοίναμά τ’ εἰς
Ἅιδαν ἐκβάλληι.
Ιων ὦ δεινὰ τλᾶσα, μῆτερ. Κρ. ἐν φόβωι, τέκνον,
καταδεθεῖσα σὰν ἀπέβαλον ψυχάν.
ἔκτεινά ς’ ἄκους’. Ιων ἐξ ἐμοῦ τ’ οὐχ ὅσι’ ἔθνισκες.
Κρ. ἰὼ 〈ἰώ〉 · δειναὶ μὲν 〈αἱ〉 τότε τύχαι,
δεινὰ δὲ καὶ τάδ’· ἑλισσόμεσθ’ ἐκεῖθεν
ἐνθάδε δυστυχίαισιν εὐτυχίαις τε πάλιν,
μεθίσταται δὲ πνεύματα.
μενέτω· τὰ πάροιθεν ἅλις κακά· νῦν
δὲ γένοιτό τις οὖρος ἐκ κακῶν, ὦ παῖ.
Χο. μηδεὶς δοκείτω μηδὲν ἀνθρώπων ποτὲ
ἄελπτον εἶναι πρὸς τὰ τυγχάνοντα νῦν.
Ιων ὦ μεταβαλοῦσα μυρίους ἤδη βροτῶν
καὶ δυστυχῆσαι καὖθις αὖ πρᾶξαι καλῶς
τύχη, παρ’ οἵαν ἤλθομεν στάθμην βίου
μητέρα φονεῦσαι καὶ παθεῖν ἀνάξια.
φεῦ·
ἆρ’ ἐν φαενναῖς ἡλίου περιπτυχαῖς ἔνεστι πάντα τάδε καθ’ ἡμέραν μαθεῖν;
φίλον μὲν οὖν ς’ εὕρημα, μῆτερ, ηὕρομεν,
καὶ τὸ γένος οὐδὲν μεμπτόν, ὡς ἡμῖν, τόδε·
τὰ δ’ ἄλλα πρὸς σὲ βούλομαι μόνην φράσαι.
δεῦρ’ ἔλθ’· ἐς οὖς γὰρ τοὺς λόγους εἰπεῖν θέλω
καὶ περικαλύψαι τοῖσι πράγμασι σκότον.
ὅρα σύ, μῆτερ, μὴ σφαλεῖς’ ἃ παρθένοις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐγγίγνεται νοσήματ’ ἐς κρυπτοὺς γάμους
ἔπειτα τῶι θεῶι προστίθης τὴν αἰτίαν
καὶ τοὐμὸν αἰσχρὸν ἀποφυγεῖν πειρωμένη
Φοίβωι τεκεῖν με φῄς, τεκοῦς’ οὐκ ἐκ θεοῦ.
Κρ. μὰ τὴν παρασπίζουσαν ἅρμασίν ποτε
Νίκην Ἀθάναν Ζηνὶ γηγενεῖς ἔπι,
οὐκ ἔστιν οὐδείς σοι πατὴρ θνητῶν, τέκνον,
ἀλλ’ ὅσπερ ἐξέθρεψε Λοξίας ἄναξ.
Ιων πῶς οὖν τὸν αὑτοῦ παῖδ’ ἔδωκ’ ἄλλωι πατρὶ
Ξούθου τέ φησι παῖδά μ’ ἐκπεφυκέναι;
Κρ. πεφυκέναι μὲν οὐχί, δωρεῖται δέ σε
αὑτοῦ γεγῶτα· καὶ γὰρ ἂν φίλος φίλωι
δοίη τὸν αὑτοῦ παῖδα δεσπότην δόμων.
Ιων ὁ θεὸς ἀληθὴς ἢ μάτην μαντεύεται;
ἐμοῦ ταράσσει, μῆτερ, εἰκότως φρένα.
Κρ. ἄκουε δή νυν ἅμ’ ἐσῆλθεν, ὦ τέκνον·
εὐεργετῶν σε Λοξίας ἐς εὐγενῆ
δόμον καθίζει· τοῦ θεοῦ δὲ λεγόμενος οὐκ ἔσχες ἄν ποτ’ οὔτε παγκλήρους δόμους
οὔτ’ ὄνομα πατρός. πῶς γάρ, οὗ γ’ ἐγὼ γάμους
ἔκρυπτον αὐτὴ καί σ’ ἀπέκτεινον λάθραι;
ὁ δ’ ὠφελῶν σε προστίθης’ ἄλλωι πατρί.
Ιων οὐχ ὧδε φαύλως αὔτ’ ἐγὼ μετέρχομαι,
ἀλλ’ ἱστορήσω Φοῖβον εἰσελθὼν δόμους
εἴτ’ εἰμὶ θνητοῦ πατρὸς εἴτε Λοξίου.
ἔα· τίς οἴκων θυοδόκων ὑπερτελὴς ἀντήλιον πρόσωπον ἐκφαίνει θεῶν;
φεύγωμεν, ὦ τεκοῦσα, μὴ τὰ δαιμόνων
ὁρῶμεν, εἰ μὴ καιρός ἐσθ’ ἡμᾶς ὁρᾶν.
ΑΘΗΝΑ
μὴ φεύγετ’· οὐ γὰρ πολεμίαν με φεύγετε
ἀλλ’ ἔν τ’ Ἀθήναις κἀνθάδ’ οὖσαν εὐμενῆ.
ἐπώνυμος δὲ σῆς ἀφικόμην χθονὸς
Παλλάς, δρόμωι σπεύσας’ Ἀπόλλωνος πάρα,
ὃς ἐς μὲν ὄψιν σφῶιν μολεῖν οὐκ ἠξίου,
μὴ τῶν πάροιθε μέμψις ἐς μέσον μόληι,
ἡμᾶς δὲ πέμπει τοὺς λόγους ὑμῖν φράσαι·
ὡς ἥδε τίκτει σ’ ἐξ Ἀπόλλωνος πατρός,
δίδωσι δ’ οἷς ἔδωκεν, οὐ φύσασί σε,
ἀλλ’ ὡς κομίζηι ’ς οἶκον εὐγενέστατον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπεὶ δ’ ἀνεώιχθη πρᾶγμα μηνυθὲν τόδε,
θανεῖν σε δείσας μητρὸς ἐκ βουλευμάτων
καὶ τήνδε πρὸς σοῦ, μηχαναῖς ἐρρύσατο.
ἔμελλε δ’ αὐτὰ διασιωπήσας ἄναξ
ἐν ταῖς Ἀθήναις γνωριεῖν ταύτην τε σοὶ σέ θ’ ὡς πέφυκας τῆσδε καὶ Φοίβου πατρός.
ἀλλ’ ὡς περαίνω πρᾶγμα καὶ χρησμοὺς θεοῦ,
ἐφ’ οἷσιν ἔζευξ’ ἅρματ’, εἰσακούσατον.
λαβοῦσα τόνδε παῖδα Κεκροπίαν χθόνα
χώρει, Κρέουσα, κἀς θρόνους τυραννικοὺς
ἵδρυσον. ἐκ γὰρ τῶν Ἐρεχθέως γεγὼς
δίκαιος ἄρχειν τῆς ἐμῆς ὅδε χθονός,
ἔσται δ’ ἀν’ Ἑλλάδ’ εὐκλεής. οἱ τοῦδε γὰρ
παῖδες γενόμενοι τέσσαρες ῥίζης μιᾶς
ἐπώνυμοι γῆς κἀπιφυλίων χθονὸς
λαῶν ἔσονται, σκόπελον οἳ ναίους’ ἐμόν.
Γελέων μὲν ἔσται πρῶτος· εἶτα δεύτερος
⟨⟩
Ὅπλητες Ἀργαδῆς τ’, ἐμῆς ⟨τ’⟩ ἀπ’ αἰγίδος
ἓν φῦλον ἕξους’ Αἰγικορῆς. οἱ τῶνδε δ’ αὖ
παῖδες γενόμενοι σὺν χρόνωι πεπρωμένωι
Κυκλάδας ἐποικήσουσι νησαίας πόλεις
χέρσους τε παράλους, ὃ σθένος τἠμῆι χθονὶ
δίδωσιν· ἀντίπορθμα δ’ ἠπείροιν δυοῖν
πεδία κατοικήσουσιν, Ἀσιάδος τε γῆς
Εὐρωπίας τε· τοῦδε δ’ ὀνόματος χάριν
Ἴωνες ὀνομασθέντες ἕξουσιν κλέος.
Ξούθωι δὲ καὶ σοὶ γίγνεται κοινὸν γένος,
Δῶρος μέν, ἔνθεν Δωρὶς ὑμνηθήσεται
πόλις κατ’ αἶαν Πελοπίαν· ὁ δεύτερος
Ἀχαιός, ὃς γῆς παραλίας Ῥίου πέλας τύραννος ἔσται, κἀπισημανθήσεται
κείνου κεκλῆσθαι λαὸς ὄνομ’ ἐπώνυμον.
καλῶς δ’ Ἀπόλλων πάντ’ ἔπραξε· πρῶτα μὲν
ἄνοσον λοχεύει ς’, ὥστε μὴ γνῶναι φίλους·
ἐπεὶ δ’ ἔτικτες τόνδε παῖδα κἀπέθου
ἐν σπαργάνοισιν, ἁρπάσαντ’ ἐς ἀγκάλας
Ἑρμῆν κελεύει δεῦρο πορθμεῦσαι βρέφος, ἔθρεψέ τ’ οὐδ’ εἴασεν ἐκπνεῦσαι βίον.
νῦν οὖν σιώπα παῖς ὅδ’ ὡς πέφυκε σός,
ἵν’ ἡ δόκησις Ξοῦθον ἡδέως ἔχηι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σύ τ᾽ αὖ τὰ σαυτῆς ἀγάθ᾽ ἔχους᾽ ἴῃις, γύναι.
καὶ χαίρετ᾽· ἐκ γὰρ τῆσδ᾽ ἀναψυχῆς πόνων
εὐδαίμον᾽ ὑμῖν πότμον ἐξαγγέλλομαι.
Ιων ὦ Διὸς Παλλὰς μεγίστου θύγατερ, οὐκ ἀπιστίαι
σοὺς λόγους ἐδεξάμεσθα, πείθομαι δ᾽ εἶναι πατρὸς
Λοξίου καὶ τῆσδε· καὶ πρὶν τοῦτο δ᾽ οὐκ ἄπιστον ἦν.
Κρ. τἀμὰ νῦν ἄκουσον· αἰνῶ Φοῖβον οὐκ αἰνοῦσα πρίν,
οὕνεχ᾽ οὗ ποτ᾽ ἠμέλησε παιδὸς ἀποδίδωσί μοι.
αἵδε δ᾽ εὐωποὶ πύλαι μοι καὶ θεοῦ χρηστήρια,
δυσμενῆ πάροιθεν ὄντα. νῦν δὲ καὶ ῥόπτρων χέρας
ἡδέως ἐκκριμνάμεσθα καὶ προσεννέπω πύλας.
Αθ. ἤινες᾽ οὕνεκ᾽ εὐλογεῖς θεὸν μεταβαλοῦς᾽ ἀεί που
χρόνια μὲν τὰ τῶν θεῶν πως, ἐς τέλος δ᾽ οὐκ ἀσθενῆ.
Κρ. ὦ τέκνον, στείχωμεν οἴκους. Αθ. στείχεθ᾽, ἕψομαι δ᾽ ἐγώ.
Ιων ἀξία γ᾽ ἡμῶν ὁδουρός. 〈Κρ.〉 καὶ φιλοῦσά γε πτόλιν.
Αθ. ἐς θρόνους δ᾽ ἵζου παλαιούς. Ιων ἄξιον τὸ κτῆμά μοι.
Χο. ὦ Διὸς Λητοῦς τ᾽ Ἄπολλον, χαῖρ᾽· ὅτωι δ᾽ ἐλαύνεται
συμφοραῖς οἶκος, σέβοντα δαίμονας θαρσεῖν χρεών·
ἐς τέλος γὰρ οἱ μὲν ἐσθλοὶ τυγχάνουσιν ἀξίων, οἱ κακοὶ δ᾽, ὥσπερ πεφύκας᾽, οὔποτ᾽ εὖ πράξειαν ἄν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org